ἔρχεται· λυσιτελεῖ αὐτῷ εἰ λίθος
ὀνικὸς περίκειται περὶ τὸν τρά-
χηλον αὐτοῦ καὶ ἔρριπται εἰς τὴν
θάλασσαν· ἢ ἵνα σκανδαλίσῃ ἕνα
τῶν μικρῶν τούτων·
προσέχετε ἑαυτοῖς· ἐὰν δὲ
ἁμάρτῃ εἰς σὲ ὁ ἀδελφός σου·
ἐπιτίμησον αὐτῷ· καὶ ἐὰν
μετανοήσῃ ἄφες αὐτῷ :—
σνδ Καὶ ἐὰν ἑπτάκις τῆς ἡμέρας
ἁμάρτῃ εἰς σέ· καὶ ἑπτάκις
τῆς ἡμέρας ἐπιστρέψει λέγων
μετανοῶ· ἀφήσεις αὐτῷ :—
Ἐπειδὴ οἱ φαρισαῖοι φιλοχρήματοι
ὄντες, διεγόγγυζον κατὰ τοῦ κ(υρίο)υ
περὶ ἀκτημοσύνης λαλοῦντος·
εἰπὼν δὲ καὶ τὴν τοῦ πλουσίου
καὶ τοῦ Λαζάρου παραβολὴν δείκνυ-
σιν αὐτοῖς διὰ ταύτης· ὅτι αὐτοῖς
κόλασις ἐκδέχεται διὰ τὸ φιλό-
πλουτον· λέγει δὲ λοιπὸν καὶ πρὸς
τοὺς μαθητὰς περὶ αὐτῶν τῶν
φαρισαίων· σκανδαλοποιοὺς αὐτοὺς
ἐμφαίνων καὶ ἐμποδιστὰς
τῆς θεογνωσίας· καὶ διὰ τοῦτο·

τὸ οὐαὶ αὐτοῖς ἀπειλῶν ἐρεῖ·
τί οὖν φησιν; ἰδοὺ μέν· ἀνέν-
δεκτον μὲν μὴ ἐλθεῖν τὰ σκάνδαλα·
οὐαὶ δὲ δι' οὗ ἔρχεται· τουτέστιν
ἀδύνατον μὲν μὴ ἐλθεῖν τὰ σκάνδαλα·
τουτέστι τὰ κωλύματα τῆς ὀρθῆς
καὶ θεοφιλοῦς πολιτείας·
ἀδύνατον γὰρ διὰ τὴν πολλὴν πο-
νηρίαν τῶν ἀνθρώπων· κωλύματα
πολλὰ διὰ τοῦ κηρύγματος καὶ
τῆς ἀληθείας ἀρεθῆναι· πλὴν
ἀλλ' οὐαὶ τῶν δι' οὗ ἔρχονται τῶν ἐργατ-
τούτων· οἷοι οἱ φαρισαῖοι σκαν-
δαλίζοντες καὶ κωλύοντες τὸ
κήρυγμα· ἀλλὰ ζητοῦσι πολλοὶ
[illegible]· ἀμήχανον δὲ ἐστιν
μὴ ἐλθεῖν τὰ σκάνδαλα· καὶ ἀδύνατον
μὴ ἐμποδισθῆναι τὸ κήρυγμα,
διά τινας πονηροὺς [illegible]
καὶ ταλανίζει τοὺς σκανδάλων
ἐργάτας· ὁ ἐξαμαρτὼν γὰρ [illegible]
τοιοῦτοι· πῶς δὲ τὸ ἁμάρτημα ὁμοίως
συγγνωστόν· ἀλλὰ μένουσι· ὅτι [illegible]
μάλιστα αὐτῶν ἐκ προαιρέσεως
ἔχει τὴν ἀρχήν· διό φησι·
ὁ κ(ύριο)ς ὁρῶν τὴν πονηρίαν τῶν τότε
ἀνθρώπων καὶ ὅπως [illegible] τὸ
πονηροὺς καὶ ἀγαθοὺς [illegible]
ῥοῦνται [illegible]· ὅτι ὁ σου [illegible]

τῆς ἀκολουθίας τῶν [illegible]·
ἀναγκαῖον ἐστὶν ἐλθεῖν τὰ σκάνδαλα·
ἤγουν οὖν πονηρίαν κτῶν ἐπιτηδεύ(?)
οἱ ἄνθρωποι ἐκ προαιρέσεως· ἤδη δὲ τὴν
σκανδάλων ἐργασίαν, ἐκ τῆς
πονηρίας ἀναγκαίως ἐπακολουθεῖ·
ὡς δὲ διὰ τοῦτο καὶ κολασθήσονται(?) οἱ
οἱ τῶν σκανδάλων ἐργάται· ὡς
φθορεῖς τῶν ψυχῶν(?) ὄντες παραδείγματι(?)·
ἢ ἀπροσέκτων(?) τιμῶν μοχθηρὸς διὰ
τὸ [illegible] καὶ ἀπληστίαν χρημάτων
εἰπεῖν· ἀναγκαῖον οὖν ἦν τοῦτον μὴ σωθῆ(ναι)·
ἀφ' ὧν ἡ νόσος ἀναγκαία· καὶ ὅσον
ἀπὸ τῆς ἀκολουθίας τῆς μοχθηρᾶς
διαίτης· διὰ τοῦτο οὐαὶ τοῖς
ἐμποδίζουσι τῷ κηρύγματι·
διότι εἰς τοῦτο κακίας ἦλθον·
ὥσπερ ἀναγκαῖον ἐστὶν ἐλθεῖν τὰ σκάνδαλα·
καὶ γὰρ συμφέρει τῷ ἀνθρώπῳ τῷ σκανδαλίζοντι
καὶ ἐμπόδιον ποιοῦντι· μύλον
ὀνικὸν περιτεθῆναι καὶ καταποντισθῆναι
εἰς τὴν θάλασσαν· ἢ ἕνα τῶν μικρῶν
τούτων σκανδαλίσαι καὶ περι-
στρέψαι· διὸ ἀσφαλίζεται τοὺς
μαθητὰς καὶ φησί· προσέχετε
ἑαυτοῖς· ἰδοὺ φησὶ προλαμβάνω
ὑμᾶς, ὅτι ἥξει τὰ κακά· ἀναπ-
ολόγητοι ἔστε· ἀναγκαῖον γὰρ ἐλθεῖν
ἐκεῖνα· οὐκ ἀναγκάζω δὲ ὑμᾶς ἀπο-

λέσθαι· ἢ γὰρ ἀσφαλίσασθε ἑαυτούς·
καὶ καθόσον πολίζετε(?)· ἀναγκαῖον
γὰρ τὸν λύκον ἐλθεῖν· ἀλλ' ἐὰν
ἀγρυπνῇ(?) γοργὸν ὁ ποιμήν, οὐκ ἀνάγκη
διαφθαρῆναι τὰ πρόβατα· ἀλλὰ
τὸν λύκον καὶ αὐτὴν χαίρων τὴν ἀπολέσθαι(?)·
εἰπὼν οὖν ταῦτα περὶ τῶν σκαν-
δαλιζόντων τουτέστιν ἐμποδιζόντων·
καὶ κωλυόντων, ἔστι διὰ τῶν ἄλλων(?)
διαφοραὶ εἰσὶ τούτων· οἱ μὲν γὰρ
εἰσὶν ἀλλότριοι ὥσπερ οἱ φαρισαῖοι·
οἱ δὲ· οἰκεῖοι ὄντες, οἱ ἀδελφοὶ
τοῦ κυρίου πρὸς αὐτὸν τὸν κύριον· οὐ
γὰρ αὐτοὶ ἐπίστευον εἰς αὐτόν· ἔστι
οὖν πολλαὶ διαφοραὶ τῶν ἐμ-
ποδιζόντων· ἕκαστος γὰρ εἶναι(?)
τιμᾶς καὶ ὁμοιοπαθὴς(?) τοῖς τοιούτοις·
διὰ τοῦτό φησιν· ἐὰν ἁμαρτήσῃ εἰς
σὲ ὁ ἀδελφός σου, ἔλεγξον(?) αὐτὸν
αὐτοῦ σου μόνος κατ' ἰδίαν· καὶ
ἐὰν μὲν ἀκούσῃ σου, ἐκέρδησας αὐτόν·
εἰ δὲ μή· παράλαβε μετὰ σεαυτοῦ
ἕνα ἢ δύο· εἶτα ἑξῆς ὁ δὲ ὁ ματθαῖος(?)
πλατυτέρως ἐξεῖπεν(?)· ὁ λουκᾶς πρό-
τερον(?) ὡς ταπεινῶς τῷ ματθαίῳ(?)
ἐρεῖ θεὶς τὸ· ὁ μὲν ἀκούσας τῶν ἐ-
πιτιμήσεων· συγγνώμης ἄξιος·
ὁ δὲ μὴ ἀκούσας, ἔστω σοι ὥσπερ ὁ
ἐθνικὸς καὶ ὁ τελώνης· τοῦτ' ἔστι

μετανοοῦντος καὶ ὁ οὐκ ἄξιος καὶ
λέγοντα ἀδελφός· εἰ τοίνυν ὥσπερ
ὀργῶντα οὕτως τινός. ἐπεὶ καὶ τοῦ ἀδελφοῦ
... κελεύσας διεῖλε· ἐὰν δὲ πολλάκις
συγχωρήσεως ἀξιωθείς, πάλιν
ἁμάρτῃ· τί ποιητέον αὐτῷ ... ἕπτα
... πάλιν ἀφεῖναι αὐτῷ. καὶ πάλιν
... ἑπτάκις τῆς ἡμέρας ἐπιστρέψῃ·
πάλιν ἀφεῖναι αὐτῷ. τὸ δὲ ἑπτάκις
ἐνταῦθα ἀντὶ τοῦ πολλάκις
κεῖται ὥσπερ καὶ τό· στεῖρα
ἔτεκεν ἑπτά. ὁσάκις οὖν με-
τανοεῖ, τοσαυτάκις αὐτῷ ἀ-
φιέναι δεῖ. μὴ γὰρ νομίσῃς ὅτι
ἀριθμὸν τινὰ ἔθηκεν ὁ κύριος τῆς συγ-
χωρήσεως. ἀλλ' ὥσπερ εἶπον, τὸ
ἑπτάκις ἀντὶ τοῦ πολλάκις
καὶ ἀναρίθμητον νόει. ὥσπερ
καὶ τῇ συνήθει ὁμιλίᾳ λέγομεν·
μυρίανδρος πόλις. οὐχ ὅτι
μυρίους ἔχει· ἴσως γὰρ πλείους·
ἀλλ' ἀντὶ τοῦ πολυάνδρος εἰπεῖν,
μυρίανδρος φαμέν. ὅτι δὲ τοῦτο
λέγει, δῆλον ἀπὸ τοῦ Ματθαίου.
ἐκεῖ γὰρ τῷ Πέτρῳ ἐρωτῶντι παρά
κυρίου ἕως ἑπτάκις συγχωρήσω αὐτῷ;
εἶπεν ὁ κύριος· οὐχί, ἀλλ' ἑβδομηκοντά-
κις ἑπτά. καὶ διὰ τοῦτο τὸ
ἀναρίθμητον τοῦ συγχωρεῖν δηλοῦν.

ς Καὶ εἶπον οἱ ἀπόστολοι τῷ κυρίῳ· πρόσ-
ς θες ἡμῖν πίστιν. εἶπε δὲ ὁ κύριος·
ς εἰ εἴχετε πίστιν ὡς κόκκον
ς σινάπεως, ἐλέγετε ἂν τῇ συ-
ς καμίνῳ ταύτῃ· ἐκριζώθητι
ς καὶ φυτεύθητι ἐν τῇ θαλάσσῃ·
ς καὶ ὑπήκουσεν ἂν ὑμῖν.
σα τίς δὲ ἐξ ὑμῶν δοῦλον ἔχων
ς ἀροτριῶντα ἢ ποιμαίνοντα, ὃς
ς εἰσελθόντι ἐκ τοῦ ἀγροῦ ἐρεῖ·
ς εὐθέως παρελθὼν ἀνάπεσον·
ς ἀλλ' οὐχὶ ἐρεῖ αὐτῷ· ἑτοίμασον
ς τί δειπνήσω· καὶ περιζωσάμενος
ς διακόνει μοι ἕως φάγω καὶ πίω·
ς καὶ μετὰ ταῦτα φάγεσαι καὶ
ς πίεσαι σύ. μὴ χάριν ἔχει τῷ δούλῳ
ς ἐκείνῳ ὅτι ἐποίησε τὰ διαταχθέντα;
ς οὐ δοκῶ. οὕτω καὶ ὑμεῖς ὅταν
ς ποιήσητε πάντα τὰ διαταχθέντα
ς ὑμῖν, λέγετε· δοῦλοι ἀχρεῖοί ἐσμεν·
ς ὅτι ὃ ὀφείλομεν ποιῆσαι πεποιή-
ς καμεν. Οἱ ἀπόστολοι ἐπει-
σακούσαντες τοῦ κυρίου πλὴν ... αὐτοὺς
αὐτοῦ ἐπιληθοῦντας καὶ ἀκούσαντας
τοῦ κυρίου περὶ μεγάλων ... αὐτοῖς
αὐτοῖς. καὶ περὶ τοῦ κινδύνου τοῦ
ἀπὸ τῶν σκανδάλων, δέονται ὥσ-
περ ... αὐτοῖς τὴν
πίστιν ... δι' ἧς δυνήσονται.

[illegible] ᾖ τι κατορθῶσαι σὺν
[illegible] τῆς δὲ ἀκτημοσύνης φημί.
οὐδὲν γὰρ οὕτω κατορθοῖ ἀκτη-
μοσύνην, ὡς τὸ πιστεῦσαι καὶ
θαρρῆσαι θεῷ, ὥσπερ οὐδὲν οὕτω
ποιεῖ θησαυρίζειν, ὡς τὸ μὴ
πιστεύειν ὅτι μεγάλας ταμείας ὁ
θεός· ὁ ταμιεύων ἀκέραιον τὸν
μισθὸν τῆς αὐτοῦ. ἔτι τὸ πρὸς
τὸ σκάνδαλον διὰ τῆς πίστεως
ἐξομοιοῦν ἄν τι εἶναι. διὸ προσερ-
χόμενοί φασι· πρόσθες ἡμῖν πίστιν
τὸ λέγειν [illegible]· οὐ μὴ [illegible]
ἐν τῇ ποιότητι καὶ βεβαιότερον.
ὁ δὲ κύριος δεικνύων αὐτοῖς ὅτι καλῶς
αἰτοῦσι καὶ ὅτι ταύτην τὴν γνώμην
δεῖ αὐτοὺς ἔχειν βεβαίαν περὶ
τῆς πίστεως ὡς μεγάλα δυναμένης
φησίν· ὅτι εἰ ἔχετε πίστιν, καὶ
ταύτην ἂν τὴν συκάμινον μετα-
φυτεύσετε. δι' ἧς δείκνυται τὸ
μέγα· τὸ [illegible]
τὸ καὶ ἐκ γῆς ἐκριζοῦσθαι, καὶ τὸ
ἐν τῇ θαλάσσῃ [illegible].
ἐν [illegible] διάνται φυ-
τευθῆναι [illegible]· δηλονότι διὰ τοῦ
τούτου εἰ ποιῆσαι τὴν τῆς πίστεως
δύναμιν [illegible]. τάχα δὲ αὐτὴ
ἀλληγορεῖν τὴν συκάμινον.

εἴ ποιεῖ εἶναι τὸν διάβολον. ὥσπερ
ἀκωνίου σκώληκας [illegible]
[illegible] καὶ προφέρειν γλυκὺ [illegible].
διὰ τοῦ [illegible]
πῶς γὰρ συκάμινος [illegible] φύλλα,
σκώληκας τρέφουσι. διὸ [illegible]
συρικὰ νήματα. ταύτην οὖν
τὴν συκάμινον πίστις δύναται ἐκ-
ριζῶσαι ἀπὸ καρδίας [illegible]
[illegible] τὴν θάλασσαν βαλεῖν [illegible]
τὸ [illegible] τὴν ἄβυσσον ἀπο-
λῦσαι. ἕτερος δὲ τοῦτο εἰπεῖν περὶ τῆς
πίστεως [illegible]
ἑτέραν διδασκαλίαν. ποίαν ταύτην,
τὴν περὶ τοῦ μὴ δεῖν μεγαλοφρονεῖν
ἐπὶ κατορθώμασιν. ἐπεὶ γὰρ
ἡ πίστις πολλὰ κατορθοῖ. καὶ τὸν
ἐν τελειότητι [illegible] ποιεῖ τὸν ταύτην
ἔχοντα· [illegible] καὶ τοῦ θαυμαστοῦ
καταλαμβάνειν αὐτόν. ἐκ τούτου δὲ
ἵνα τὸν [illegible] μεγαλοφρονεῖν
ἐκκόπτειν [illegible] ἀσφαλίζεται
τοὺς ἀποστόλους ὡς [illegible]
τοῖς κατορθώμασι διὰ [illegible]
χάριν [illegible]. τίς γάρ φησιν ὑμῶν
δοῦλον ἔχων καὶ τὰ ἑξῆς. ἐνδείκνυται
διὰ τῆς παραβολῆς ὅτι
οὐδὲν [illegible] ἐστί τινι κατορ-
θώματι. [illegible] οὐδὲ [illegible] ἐστι.

τῶν ποιούντων τὰς ἐντολὰς ἐκ
πληρώσει· δοῦλον γὰρ ἀνάγκη
ἐπίκειται τοῦ πληροῦν τὰς
ἐντολὰς τοῦ κυ. οὐκ ἂν οὖν
κατορθώσας ἐπιγράφεσθαι
ἑαυτῷ τοῦτο ὀφείλει. εἰ γὰρ μὴ
ἐργάσηται, πληγῶν ἄξιος ἐστὶ·
[illegible] δὲ ἐργασάμενος ἐπαίρεσθαι.
ὅτι τὰς πληγὰς ἐξέφυγεν·
[illegible] ὀφείλει ἐπὶ τούτῳ [illegible]
ζητεῖν ἀμοιβὰς· τοῦ γὰρ
δεσπότου φιλοτιμίας ἐστὶ τὸ δοῦναι
αὐτῷ· μᾶλλον δὲ χαρίσασθαί τι.
οὐκοῦν ὁ [illegible] θεῷ δουλεύων ἐὰν
τὰς ἐντολὰς κατορθοῖ, οὐκ ὀ
φείλει ἐπαίρεσθαι· οὐδὲ γὰρ
μάχην ἐποίησεν· ἀλλ' οὐαὶ ἦν αὐτῷ·
εἰ μὴ ἐποίησεν ὥς ὁ ἀπόστολος
φησίν· οὐαὶ μοι εἰ μὴ εὐαγγελίζομαι.
ἀλλ' οὖν ἢ χαρισμάτων ἐπέτυχεν ὁ
φείλει [illegible] τούτοις μετριοφρονεῖν·
χαρίσματα γάρ ἐστι διὰ τὸ ἔλεον
θυ χαρισθέντα αὐτῷ. οὐ χρὴ δὲ ὅτι
ἐχρεώστει αὐτῷ τί ὁ δεσπότης·
μᾶλλον γὰρ ὁ δοῦλος χρεωστεῖ
τῷ δεσπότῃ αὐτοῦ ποιεῖν πάσας
τὰς αὐτοῦ ἐντολάς· ἢ δὲ ὁ δεσπότης
τὰς ἐντολὰς πάσας ποιήσαντι.

οὐδὲ τὸ ὀφειλόμενον ἀπειθοῦντι
μάχην· τί γὰρ ποιεῖ ὁ [illegible] δὲ
πρᾶγμα οὐδὲ [illegible] τῶν [illegible]
τελῶν κατορθοῦν τὰς [illegible]
ἐπιτείνει δὲ ἐστὶ τὸ [illegible]
ρῶν ὅτι τι πρῶτον ἐκεῖνο ἄρο
τριῶντα, ἢ ἐπὶ γὰρ τὸ ποι
μαίνοντι· πρῶτον δὲ [illegible] ἀρόταν
εἶναι τινὰ δεῖ καὶ ποιμαντικὸν
ἀχαριστεῖν· ὁ γὰρ τὴν ἑαυτοῦ
[illegible] κ(αὶ) [illegible] [illegible] οὔπω
[illegible] ἄξιος ἐστὶ ποιμαίνειν
ἑτέρους· ὁ δὲ γὰρ τοῦ ἰδίου οἴκου
οὐκ οἶδε [illegible] προΐστασθαι,
πῶς ἐκκλησίας θεοῦ ἐπιμελήσεται·
[illegible] τὸν ἑαυτόν,
καὶ τότε ποιμαίνειν ἑτέρους·
καθὰ καὶ Ἱερεμίας φησί· μνησθῆτε
ἑαυτοῖς [illegible]· εἶτα τὸ
φροντίσατε ἑαυτοῖς [illegible]
ὁ δηλοῖ [illegible] τῆς ποιμαντικῆς,
τὸ κυριώτερον μέρος + κεφ
Καὶ ἐγένετο ἐν τῷ πορεύεσθαι
αὐτὸν εἰς Ἰλήμ. καὶ αὐτὸς
διήρχετο διὰ μέσον Σαμαρεί
ας καὶ Γαλιλαίας. καὶ εἰσερχο
μένου αὐτοῦ, εἴς τινα κώμην
ἀπήντησαν αὐτῷ δέκα

ξ. περὶ τῶν ι' λεπρῶν:

λεπροὶ ἄνδρες· οἳ ἔστησαν πόρρωθεν· καὶ αὐτοὶ ἦραν φωνὴν λέγοντες· ἰ(ησο)ῦ ἐπιστάτα ἐλέησον ἡμᾶς· καὶ ἰδὼν εἶπεν αὐτοῖς· πορευθέντες ἐπιδείξατε ἑαυτοὺς τοῖς ἱερεῦσι· καὶ ἐγένετο ἐν τῷ ὑπάγειν αὐτοὺς ἐκαθαρίσθησαν· εἷς δὲ ἐξ αὐτῶν ἰδὼν ὅτι ἰάθη, ὑπέστρεψε μετὰ φωνῆς μεγάλης δοξάζων τὸν θ(εό)ν· καὶ ἔπεσεν ἐπὶ πρόσωπον παρὰ τοὺς πόδας αὐτοῦ εὐχαριστῶν αὐτῷ· καὶ αὐτὸς ἦν σαμαρείτης· ἀποκριθεὶς δὲ ὁ ἰ(ησοῦ)ς εἶπεν· οὐχὶ οἱ δέκα ἐκαθαρίσθησαν· οἱ δὲ ἐννέα ποῦ· οὐχ εὑρέθησαν ὑποστρέψαντες δοῦναι δόξαν τῷ θ(ε)ῷ εἰ μὴ ὁ ἀλλογενὴς οὗτος· καὶ εἶπεν αὐτῷ· ἀναστὰς πορεύου· ἡ πίστις σου σέσωκέ σε·

Κἂν τὰ ἔθνη ἄν τις ἐπὶ γένους ᾖ, οὐδὲν ἐμποδίζει τινὶ πρὸς τὸ ἀρέσκειν θεῷ. κἂν ἐπικαταράτου γένους ᾖ, μόνον ἐὰν προαίρεσιν ὀρθὴν ἔχῃ. ἰδοὺ γὰρ δέκα λεπροὶ συναντῶσι τῷ ἰ(ησο)ῦ μέλλοντι εἰσελθεῖν εἰς τὴν πόλιν· ἀπήντησαν δὲ ἔξω τῆς πόλεως· οὐ γὰρ ἐξῆν αὐτοῖς ἀκαθάρτοις νομιζομένοις ἐνδιατρίβειν τῇ πόλει. ἵστανται δὲ πόρρω, ὡς αἰσχυνόμενοι διὰ τὴν νομιζομένην ἀκαθαρσίαν καὶ μὴ τολμῶντες ἐγγίσαι, ὡς μιαίνοντες καὶ τὸν ἰ(ησο)ῦν ἀξιοῦντες· ὥς τινα προφήτην ἐπαίρουσι τὴν φωνὴν καὶ ἱκετεύουσι· τῷ μὲν τόπῳ πόρρω ὄντες, τῇ δὲ ἱκεσίᾳ ἐγγὺς γενόμενοι· ἐγγὺς γὰρ κ(ύριο)ς πᾶσι τοῖς ἐπικαλουμένοις αὐτὸν ἐν ἀληθείᾳ· καὶ οὐχ ὡς ἁπλῶς ἄνθρωπον ἱκετεύουσιν, ἀλλ' ὡς ὑπὲρ ἄνθρωπον· ἐπιστάτην γὰρ αὐτὸν ὀνομάζουσιν ὅ ἐστι κ(ύριο)ν καὶ δεσπότην, ἔφορον, ὅπερ ἐγγύς ἐστι τοῦ θ(εὸ)ν νομίζειν αὐτόν. ὁ δὲ προστάττει αὐτοῖς ἐπιδεῖξαι ἑαυτοὺς τοῖς ἱερεῦσιν· οἱ γὰρ ἱερεῖς ἐδοκίμαζον τοὺς τοιούτους καὶ παρ' ἐκείνων ἐλάμβανον τὴν ψῆφον εἰ καθαροὶ τῆς λέπρας εἶεν ἢ οὔ. εἶχον γὰρ σημεῖα οἱ ἱερεῖς διακρίνοντα τὴν ἀνίατον λέπραν χαρακτηρίζοντα· ἀλλ' οὖν καὶ μετὰ τὸ ἐκλεπρωθῆναι τῇ ἀπὸ τοὺς ἱερεῖς ἐδοκίμαζον. καὶ δῶρα προσέφερον τὰ ἐν τῷ νόμῳ διατεταγμένα. ἐνταῦθα δὲ ὁ

ὁμολογουμένως λεπρῶν ὄντων
τούτων, τί ἔδει δειχθῆναι
τοῖς ἱερεῦσιν· ἀλλὰ πάντως
ἔμελλον καθαρισθῆναι· τὸ δὲ
προστάξαι αὐτοῖς ἀπελθεῖν,
οὐδὲν ἄλλο ἐμφαίνει· ἢ ὅτι κα-
θαροὶ ἔσονται· διὸ καὶ φησὶν ὅτι
ἐν τῷ ὑπάγειν ἐκαθαρίσθησαν.
ἀλλ᾽ ὅρα ὅπερ ἐν ἀρχῇ εἴπομεν
ὅτι δέκα ὄντων, οἱ μὲν ἐννέα
καίτοι ἰσραηλῖται ὄντες· ἀ-
χάριστοι ἐφάνησαν· ὁ δὲ σαμα-
ρείτης καίτοι ἀλλογενὴς ὤν·
ὑπέστρεψε· καὶ τὴν τῆς εὐγνω-
μοσύνης φωνὴν ἠφίει· ἀ-
σύριοι γὰρ οἱ σαμαρεῖται· ἵνα
μάθῃς ἐθνικούς, ἀπογινώσκῃ
καὶ ἵνα μάθῃς ἐκ προγόνων
ἀλλοφύλων ὤν· καὶ χεῖρον· ἀνυπέρτατον
δὲ τὸ θαυμαστὸν τοῦτο· καὶ τὴν κοινὴν
κατὰ πάντων γενομένην νόσον·
δέκα μὲν γὰρ λεπροί· ἡ πονηρὰ
τῶν ἀνθρώπων φύσις λεπρωθεῖσα
τῇ κακίᾳ εἰς τὴν τῆς ἁμαρτίας
ἀσχημοσύνην περιφέρουσα·
καὶ ἔξω τῆς τῶν ἁγίων πόλεως
διὰ τὴν ἀκαθαρσίαν διορισθεῖσα·
καὶ πόρρωθεν ἱσταμένη θεοῦ·
αὐτὸ τοῦτο τὸ πόρρωθεν ἱστασθ-

ἱκετηρίαν προσάγειν· τῷ δὲ φιλανθρώπῳ
καὶ θέλοντι πάντας ἀνθρώπους σωθῆναι·
μεγίστη πρόφασις εἰς ἔλεον τὸ
ἀνθρώπους ὁρᾶν κακῶς ἔχοντας τῆς
ἀγαθότητος αὐτοῦ· διὰ τοῦτο γὰρ
τοῦτο ἐστὶ κάμπτεσθαι πρὸς τὸ
θεραπεῦσαι τοὺς οὕτως ἀθλί-
ως ἔχοντας· καὶ μέντοι καὶ ἐθερά-
πευσε πᾶσαν τὴν λέπραν τῆς
φύσεως ὑπὲρ πάντων τοῖς σαρκωθεὶς
καὶ θανάτου γευσάμενος· ἀλλ᾽ οἱ μὲν
οὖν ἰουδαῖοι καίτοι ὅσον τὸ ἐπὶ
τῷ θεῷ καθαρισθέντες· τὴν
οἰκείαν τῆς λέπρας τῆς διὰ ἁμαρτίας
ἀκαθαρσίαν· ἀγνώμονες ἐ-
φάνησαν καὶ οὐχ ὑπέστρεψαν διὰ τὸ
τῆς ὁδοῦ τῆς κακίας ὅτι τοσαύτης
ὥστε δοῦναι δόξαν τῷ θεῷ τῷ
σώσαντι· τουτέστι πιστεῦσαι αὐτῷ
ὅτι θεὸς ὤν, ἠνέσχετο τὰ ἔσχατα
παθεῖν· τοῦτο γὰρ δόξα θεοῦ·
ἡ σὰρξ καὶ ὁ σταυρός· οὗτοι μὲν οὖν τῷ
σαρκωθέντι κυρίῳ τῆς δόξης ἀ-
χάριστοι μεμολόγηνται· ὁ δὲ ἀλλογενὴς
λαὸς τῶν ἐθνῶν ἐπιστρέψας τῷ κα-
θαρίσαντι καὶ ἐδόξασεν αὐτὸν
ἐννοήσας ὅτι φιλάνθρωπος
ἐστὶ θεὸς δυνατὸς ὡς τελειῶσαι καὶ
διὰ μόνου ἀναδέξασθαι· ὅπερ δὲ

φημιτὰς· καὶ ἀναδεξάμενος
μαθεῖν παραβλαβῆναι ὡς τὴν
οἰκείαν φύσιν· ὅτι περὶ τῆς δυνάμεως·

σβ Ἐπερωτηθεὶς δὲ ὑπὸ τῶν φα
ρισαίων πότε ἔρχεται ἡ βα
σιλεία τοῦ θεοῦ· ἀπεκρίθη αὐτοῖς
καὶ εἶπεν· οὐκ ἔρχεται ἡ βασιλεία
τοῦ θεοῦ μετὰ παρατηρήσεως·
οὐδὲ ἐροῦσιν ἰδοὺ ὧδε ἢ ἰδοὺ
ἐκεῖ· ἰδοὺ γὰρ ἡ βασιλεία τοῦ
θεοῦ ἐντὸς ὑμῶν ἐστιν·
σγ εἶπε δὲ πρὸς τοὺς μαθητάς·
ἐλεύσονται ἡμέραι· ὅτε ἐ
πιθυμήσετε μίαν τῶν ἡμερῶν
τοῦ υἱοῦ τοῦ ἀνθρώπου ἰδεῖν καὶ
σδ οὐκ ὄψεσθε· καὶ ἐροῦσιν ὑμῖν·
ἰδοὺ ὧδε· ἢ ἰδοὺ ἐκεῖ· μὴ
ἀπέλθητε μηδὲ διώξητε·
σε ὥσπερ γὰρ ἡ ἀστραπὴ ἡ ἀστρά
πτουσα ἐκ τῆς ὑπ' οὐρανὸν εἰς
τὴν ὑπ' οὐρανὸν λάμπει· οὕτως
ἔσται ὁ υἱὸς τοῦ ἀνθρώπου ἐν τῇ
σϛ ἡμέρᾳ αὐτοῦ· πρῶτον δὲ
δεῖ αὐτὸν πολλὰ παθεῖν καὶ
ἀποδοκιμασθῆναι ἀπὸ τῆς
γενεᾶς ταύτης· παραχθ
μετὰ τῶν διδασκαλιῶν αὐτοῦ
ὁ κύριος ἐλέγμην τὸ τῆς βασιλείας
τοῦ θεοῦ· οἱ δὲ φαρισαῖοι ταῦτα

ἀκούσαντες· καταφρονοῦντο
αὐτοῦ· καὶ διὰ τοῦτο περὶ ταύτης
προσῆκον ἐρωτῶσι τοῦ πότε
ἔρχεται· διαγελῶντες αὐτοῦ ὡς
ἄλλο τι παρὰ τὴν αὐτοῦ θελήματι
ζητουμένου πράγματος κηρύττοντα·
οὐδὲ γὰρ τῶν προγενεστέρων διδα
σκάλων καὶ προφητῶν ταύτης
ἐπεμνήσθη ἡ τάχα καὶ κατὰ
μόνων ἐχόντων· ὅτι πόσον οὔπω
μέλλοιστιν αὐτοῦ ἀποκτήναι·
προσῆκον ὡς ἐμοῦ κτησεως
καὶ εἰρωνείᾳ λόγου τὸ ἀστεῖον
τοιαῦτα φασίν· σὺ μὲν περὶ βα
ποιῇ τοὺς λόγους· πότε δὲ ἔσται
ἡ βασιλεία σου αὐτή· σὺ γὰρ ἄν
ἀφῃρημένον θανατοῦσθαι μέλλεις·
ὡς πρὸς σε περιηγεῖσθαι· ὡς ὅση
τῆς ἀπειλείας· ἴσως ὁ Χριστὸς· οὐ
κατὰ τὴν ἀμοιβὴν τὴν αὐτῶν γλῶσσαν
καὶ ἀφροσύνην ἀποκρίνεται
τοῖς ἄφροσιν· ἀλλὰ ἄφρονας αὐτοῖς
πραγματεύεσθαι περὶ τῆς ὁμολογίας
τῆς βασιλείας· καὶ μὴ ἀποκα
λύπτει αὐτοῖς· οὐδὲ γὰρ ἐδέξαντο
ἂν περὶ τοιαύτης βασιλείας δια
λέγεσθαι· καὶ ὅτι οὐχ ὡς οἱ ὁμ
ἄλλος ὁ κόσμος ἐστὶν αὕτη ἡ βασιλεία·
ἀλλ' ἔστι περὶ κόσμος· ταῦτ' οὖν

ἀφεῖς· ὡς καὶ αὐτῶν ἀξίων οὕτω
τοιαύτης ἀκοῦσαι διὰ τὸ ἐθελο-
κωφεῖν περὶ τοῦ καιροῦ τῆς βασι-
λείας διαλέγεται· ὡς ἐγνωσμένος ἐστὶ καὶ
ἀπαρατήρητος· οὐ γὰρ ἔχει καιρὸν
ὡρισμένον, ἀλλ' ὅτε τῷ [?] βουλομένῳ
πάρεστιν ἡ βασιλεία τοῦ θεοῦ·
πολίτευμα γὰρ βασιλείας τοῦ θεοῦ ἐστιν
ἡ ἀγγελικὴ κατάστασις καὶ δια-
γωγή· τότε γὰρ διαλέγεται βα-
σιλεύειν τῷ ὄντι θεὸς ὅταν [?] ἐν
κόσμῳ καὶ ἐν ταῖς ψυχαῖς ἡμῶν
πολιτεύηται· ἀλλὰ τὰ πάντα τοῦ
θεοῦ ὑπερκοσμίως διαφέρον τοῦ·
ταύτην δὲ τὴν διαγωγὴν ἐν τῷ
ἡμᾶς ἔχομεν· τουτέστιν ὅταν
βουληθῶμεν· οὐ καιροῦ μακροῦ
οὐδὲ ἀποδημίας χρεία· ἀλλ' ἐγγὺς
ἡμῶν ἐστι· καὶ ἡ πίστις ἐν ἡμῖν ἐστι
τὸ πιστεῦσαι καὶ τὰ θεοῦ διαγωγή·
ταὐτὸ δὲ τοῦτο καὶ ὁ ἀπόστολος
ἔφησεν· ἐγγύς σου τὸ ῥῆμά ἐστιν
ἐν τῷ στόματί σου καὶ ἐν τῇ καρδίᾳ
σου· τουτέστι τὸ ῥῆμα τῆς πίστεως
καὶ τὸ πιστεῦσαι γὰρ καὶ τὸ
καλὴν τὴν πολιτείαν ἀξίως περι-
πατῆσαι τῆς κλήσεως· ἐν
τοῖς ἡμῶν ἐστιν· οἱ μὲν οὖν
φαρισαῖοι διεχλεύαζον τοῦ

κυρίου ὡς περὶ τῆς βασιλείας
κηρύττοντος περὶ ἧς οὐδέπω ἐ-
κήρυξεν· ὁ δὲ ἀντιπαρέφερεν [?]
αὐτοῖς· τὸν καιρὸν ἀγνοοῦντας
ὅτι πάρεστιν· περὶ οὗ ἐν τοῖς
αὐτῶν ἐστι καὶ καιρὸν λογισμοῖς
τοῦ ὑπολαβεῖν, πολλὴ ἡ ἀλογία·
ὑμῶν γὰρ ὄντος ἐμοῦ μέσον
ὑμῶν, δύνασθαι πάντας
τὴν βασιλείαν τοῦ θεοῦ δέξασθαι
πιστεύσαντας ἐν ἐμοὶ καὶ
κατὰ τὰς ἐντολὰς τὰς ἐμὰς
ζῆν ἐθέλοντας· τοῖς δὲ μαθηταῖς
αὐτοῦ εἶπεν· ἐλεύσονται ἡμέραι
ὅτε ἐπιθυμήσετε· τουτέστι καὶ ὑμῖν
ἡ βασιλεία τοῦ θεοῦ πάρεστιν ἐν
ὅσῳ ἐγὼ μεθ' ὑμῶν· πάρεστι δὲ
αὐτοῖς ὑμῖν· οὐ μόνον καθὸ ἐστὲ
πιστεύσαντες καὶ ἀκολουθήσαντες·
ἀλλὰ καὶ καθὸ ἐν παρουσίᾳ ἀφρόντιστοι
διάγετε ὑμῶν· ἐμοῦ ὑμῶν κήδοντος·
ἐλεύσονται δὲ ἡμέραι ὅτε ἀ-
πόντος ἐμοῦ· καὶ ἐν διωγμοῖς
παραδοθήσεσθε καὶ ἐπὶ ἡγε-
μόνας καὶ βασιλεῖς ἀγόμενοι·
τότε ὑμᾶς ἀναδιώκουσι καιροῦ καὶ
τὴν ἀφροντισίαν ἣν ἐμοῦ
συνόντος ὑμῖν ἔχετε· ὡς βασι-
λείας θεοῦ ποθήσετε καὶ πολλάκις

ὅτε δὲ ἐμνήσθη τῶν ἐμῶν ἢ κακ-
κῶς ἐπιτυχὼν τουτέστι ταύτης
τῆς μεθ' ὑμῶν συνδιαγωγῆς ὡς
ἀκινδυνοτέρου· ἃ γὰρ συνῆν αὐτοῖς
οὕτως οὐ ταύτῃ δ᾽ ἀπονομικὰ
ἀκίνδυνον ἡγοῦμαι, ἀλλ᾽ ἀφ᾽ ἑτέρου
συμφαίνοντος· ἐκ καλοπαθοῦν·
καὶ λοιδορουμένῳ σὺν ἐλοιδοροῦν·
ἀλλὰ πρὸς τοὺς μέλλοντας κιν-
δύνοις συμπεριμένεσθαι προτρέπει
αὐτοῖς συμμαχοῦμεν· τὸ ἀκίν-
δυνον πολλῶν ἐχόντων φανήσομαι.
ὥσπερ ἡ βασιλεία τοῦ θεοῦ καὶ
κατὰ τοῦτον γὰρ τὸν τρόπον ὑμῖν
τῶν ἀποστόλων ἡμῶν· κατὰ τὸ
ἀκίνδυνον καὶ ἄπονον φησί·
ὅτι ἐγὼ τοίνυν ἐμὲ τὴν ἀνάστασιν
ὡς ἀρχηγὸν αὐτοῖς ἰδίως καὶ μοι
τοῦ ἐγείρεσθαι· κατασκευάζει διὰ
τούτων τῶν λόγων τὰς τῶν ἀ-
ποστόλων καρδίας φερωνύμους
καὶ καρτερικάς· καὶ προλαβὼν αὐτοὺς
ἵνα μὴ καταληφθῶσιν· ἂν γὰρ
εἴπωσι φησίν, ἰδοὺ ὧδε ἰδοὺ
ἐκεῖ· καὶ διώξητε· καὶ γὰρ
φησὶν ὑμᾶς πείσει ὅτι ἦλθον
ὧδε ἢ ἐκεῖ· οὐ γὰρ τοῦτο ἐπι-
κεκαλύφθησεσθαι ἢ δευτέρου καὶ οὐ πό-
ρρωθεν· ἢ λαμπροτέρου καὶ ἐν
δοξοτέρα· ἀλλ᾽ ὥσπερ ἀστραπὴ
οὐ λανθάνει, ἀλλ᾽ ἀπὸ ἀέρος τῆς γῆς
ἐπὶ τὸν ἕτερον ἀέρα φαίνει· οὕτω
καὶ ἡ θλῖψις περιστίλβει καὶ ἐ-
πιφανὴς ἐστί· καὶ γὰρ οὐδὲ ἡμᾶς
ἀποκρύπτεσθαι· ἀλλ᾽ ὅταν πλανη-
θῶμεν τῶν αὐτῶν ἐκείνων χρείαν.
ὁ γὰρ ὥσπερ περὶ τὸν ὅρον φαίνει
καὶ ποιῆσαι ὡς διὰ τριῶν
ἐτῶν ἐφάνη· οὕτω καὶ τότε· ἀλλὰ
πάντων ἐν δόξῃ δορυφορούντων
ἀγγέλων· καὶ εὑρεῖν· ἵνα ὅτι
φοβερὸν αὐτοῖς προσῆλθεν ἀπὸ
τῆς φυλακῆς, παραμυθούμενος αὐτοὺς
καὶ παρακαλῶν γενναίως φέρειν.
οὕτω καὶ αὐτὸν ὑποδείγματι τοῦτο
ποιῶν· καὶ γὰρ θαυμάσια τὰ
τῆς ἀγωνίας ἐστὶν ὑμῖν τοιαῦτα ἐπὶ τοῦ
οἱ ἀφ᾽ ὑμῶν ἐπὶ τοῦ καὶ τὴν μεθ᾽ ὑμῶν
ταύτην συνήθειαν διαγωγήν· αὐτὸς
γὰρ ἐγὼ ὁ μέλλων ὡς ἀστραπὴ
φανῆναι, πρότερον μέλλω παθεῖν
καὶ ἀποδοκιμασθῆναι, καὶ ὅτι
ἐν τῇ δόξῃ ταύτῃ ἐλθεῖν· ὥσπερ
ὑμῖν ἔσεσθαι παράκλησιν τὴν πρὸς
ἀρετὴν καὶ προθυμίαν ποιεῖ τοῦ
τὸ καρτερεῖν· τὴν ἀφορμὴν διδάσ-
κει καὶ ἐλπίζειν ὅτι καὶ ὑμῖν
ἡ δόξα κατὰ κινδύνοις παθεῖν

ἀποδοῦναι μισθὸν ... ὥσπερ γὰρ
γενήσεται ... κεί(μενον)

Καὶ καθὼς ἐγένετο ἐν ταῖς ἡμέραις
Νῶε, οὕτως ἔσται καὶ ἐν ταῖς
ἡμέραις τοῦ υἱοῦ τοῦ ἀνθρώπου· ἤσθιον
καὶ ἔπινον, ἐγάμουν καὶ ἐγαμί-
ζοντο, ἄχρι ἧς ἡμέρας εἰσῆλθεν
Νῶε εἰς τὴν κιβωτόν· καὶ ἦλθεν
ὁ κατακλυσμὸς καὶ ἀπώλεσεν ἅπαντας.
ση ὁμοίως καὶ ὡς ἐγένετο ἐν ταῖς
ἡμέραις Λώτ· ἤσθιον, καὶ ἔπινον,
ἠγόραζον, ἐπώλουν, ἐφύτευον,
ᾠκοδόμουν· ᾗ δὲ ἡμέρᾳ ἐξῆλθε
Λὼτ ἀπὸ Σοδόμων, ἔβρεξε
πῦρ καὶ θεῖον ἀπ᾽ οὐρανοῦ καὶ ἀπώ-
λεσεν ἅπαντας. κατὰ ταῦτα ἔσται
ᾗ ἡμέρᾳ ὁ υἱὸς τοῦ ἀνθρώπου ἀποκαλύπτεται:—

Καὶ διὰ τούτων τὸ αἰφνίδιον καὶ
ἀπροσδόκητον τῆς αὐτοῦ παρουσίας
ἐνδείκνυται. ὥσπερ γὰρ ἐπὶ τοῦ
Νῶε ἐξαίφνης ἦλθεν ὁ κατακλυσμὸς
καὶ ἦρεν ἅπαντας, ὁμοίως οὕτως
ἔσται καὶ ἡ παρουσία τοῦ υἱοῦ τοῦ ἀνθρώπου.
αἰνίττεται δὲ διὰ τῶν ὑποδειγμάτων
τούτων, τοῦ τε τῶν κατὰ τὸν
κατακλυσμὸν ἀνθρώπων, καὶ τοῦ
τῶν Σοδομιτῶν, ὅτι τοῦ ἀντι-
χρίστου ἐλθόντος, τῶν ἀτόπων
ἡδονῶν ἐπιθυμήσουσι τοῖς ἀνθρώποις
καὶ ἀλλήλοις ἐπιβουλεύοντες· καὶ ἀνθρώποις
ἡδοναῖς ἐκδεδομένοις· ὅπερ
δηλοῖ καὶ ὁ ἀπόστολος λέγων· ὅτι ἐν
ταῖς ἐσχάταις ἡμέραις ἔσονται
οἱ ἄνθρωποι φιλήδονοι μᾶλλον ἢ φιλόθεοι
καὶ φίλαυτοι. ἐπὶ τῆς βασιλείας
τοῦ πλάνου ἀνθήσει τὰ κακά·
τῆς γὰρ πονηρίας, καὶ πάσης
ἁμαρτίας καθηγητὴς ὢν ἐκεῖνος,
τί ἄλλο ἐν τῇ πόλει τελεσθῆναι ποιήσει
τῶν τότε ἀνθρώπων ἐν ἑαυτοῖς ...
ἢ πάντως τὰ οἰκεῖα αὐτῶν. ἐξαπί-
νης γὰρ τῆς καθαιρέσεως ...
ἔσονται γὰρ τότε καὶ τότε οἱ ἄνθρωποι ἐν
πάσῃ τρυφῇ ὥσπερ ἐπὶ τοῦ
Νῶε· καὶ οὐδὲν ... ἐλπίζουσιν
ἀλλ᾽ αὖ καὶ ἀπιστοῦσιν· ἤν τις αὐτοῖς
περὶ ... ἐπιμείνωσι ...
... λέγοι. ὥσπερ καὶ ἐπὶ τοῦ
σθ Νῶε καὶ ἐπὶ τοῦ Λώτ:— κεί(μενον)

Ἐν ἐκείνῃ τῇ ἡμέρᾳ ὃς ἔσται ἐπὶ
τοῦ δώματος, καὶ τὰ σκεύη αὐτοῦ
ἐν τῇ οἰκίᾳ, μὴ καταβάτω ἆραι
αὐτά· καὶ ὁ ἐν τῷ ἀγρῷ ὁμοίως·
μὴ ἐπιστρεψάτω εἰς τὰ ὀπίσω.
σι μνημονεύετε τῆς γυναικὸς Λώτ.
σια ὃς ἐὰν ζητήσῃ τὴν ψυχὴν αὐτοῦ
σῶσαι, ἀπολέσει αὐτήν· καὶ ὃς
ἐὰν ἀπολέσῃ αὐτήν, ζωογονήσει αὐτήν.

μὴ κάμνῃ τῇ ἡμέρᾳ τῆς τοῦ ἀν-
τιχρίστου παρουσίας. ὁ οὖν ἐπὶ τοῦ
δώματος, τουτέστι τοῦ ὕψους τῆς
ἀρετῆς, μὴ καταβάτω, μηδὲ ὑφε-
θήτω ἀπὸ ταύτης διὰ τὴν πρό-
φασιν σωματικήν· ταῦτα γὰρ τὰ
βιωτικὰ σκεύη εἶναι τῶν ἀνωλάγων·
ἄλλως μὲν ὡς ἀρετήν· ἄλλως δὲ ὡς καλὰ
σημειωδῶς ὁμολογούμενα· μὴ τοίνυν ὁ ἐπὶ
τοῦ ὕψους τῆς ἀρετῆς ἱστάμενος
καταβαινέτω διὰ τὰ βιωτικά·
καὶ ἀπὸ τῶν τοῦ οἰκείου ὕψους·
ἀλλὰ συναπτέτω πρὸς τὴν κακίαν,
καὶ μὴ μαλακιζέσθω. καὶ ὁ ἐν
τῷ ἀγρῷ, ὁ ἐργάτης μὴ ἐπιστρεφέτω
εἰς τὰ ὀπίσω, ἀλλὰ τοῖς ἔμπροσθεν
ἐπεκτεινέσθω· ὥσπερ καὶ Παῦλος
φησίν· οὐδεὶς ἐπιβαλὼν τὴν
χεῖρα αὐτοῦ ἐπ' ἄροτρον καὶ
στραφεὶς εἰς τὰ ὀπίσω εὔθετός
ἐστιν εἰς τὴν βασιλείαν τῶν οὐρανῶν.
ἐπιστρέφει δὲ ὁ ἐπιλαθόμενος τὴν
γνῶσιν καὶ τοῦ λόγου· ἢ στραφεὶς
εἰς τὰ ὀπίσω ὡς ἀπὸ λιμένος ἐστι,
τουτέστι μὴ ἐξελθοῦσα τῆς κακίας,
ἐμμένει τῆς ταύτης ἁμαρτίας
ἐλθεῖν καὶ γυμνωθῆναι· καὶ στολὴν
τέως τὴν ἢ παλαιὰν ἐπενδύ-
σασθαι· καὶ ἐναπομάξασθαι τῇ
κακίᾳ. εἰ δὲ ἐστὶ φθορὰ τῶν

ἀκολουθοῦσι τοῖς ἁμαρτήμασι ἐγκαλουμένοις.
ὁ ζητήσας τὴν ψυχὴν αὐτοῦ σῶσαι,
ἀπολέσει αὐτήν. καὶ γάρ φησιν
διασώσαντες τῷ τοῦ ἀντιχρίστου
διωγμῷ τε ποιήσασθαι τὴν ἑαυτοῦ
ψυχὴν ἀπολέσει γὰρ αὐτήν. ὅσοι δὲ
ἐκδῶσιν ἑαυτοὺς σφαγαῖς καὶ ἀπηλλα-
κινδύνοις σωθήσονται· καὶ ὑπὸ κυρίου
τοῦ τυράννου διὰ τὸ φιλόζωον·
ὥσπερ πρόσω ἢ πρότερον ἅμα πέρα ὅτι
ὁ ἐπὶ τοῦ ὕψους τῆς ἀρετῆς μὴ
διὰ τὰ σωματικὰ πράγματα κατα-
βήτω μαλακιζόμενος τυχὸν διὰ
πράγματα· καὶ διὰ ταῦτα ἐφιέμενος
τῆς ἐνστάσεως· ὅτι τῷ καιρῷ ὁ δὲ
παροιμιῶν φησιν· καὶ πάλιν ὅτι
ὅτι μὴ καταβήσῃ διὰ σκεύη· μὴ
δὲ διὰ τὰ ἐκτὸς παροινήσῃ τὴν
ἀρετήν· μὴ δὲ διὰ ταύτην τὴν τῆς
ψυχῆς περιποίησιν δόξῃ ἢ ἀπο-
κινδύνων τῶν πραγμάτων καὶ διακτῆ·
ταῦτα δὲ οὐ μανθάνομεν ποτέ
διὰ τὴν τῶν ἱεροσολύμων ἄλωσιν
ῥηθέντα τοῖς κῶ φησιν· ἀναμιμνήσκουσιν
τὴν τῶν ἐχθρῶν ἐπίθεσιν. καὶ
ὅτι ἀμεταστρεπτὶ φυγὴν δέ τοῖς
ῥωμαίοις ἐπιοῦσι. καὶ μήτε
ἐν τοῖς δώμασι ὄντας καταβαίνειν
ὡς τὴν οἰκίαν διά τι χρεῖαν δὲ.

ἀλλ' ἄλλως φανῆναι· οὐ γὰρ ἔτι καιρὸς
σχολῆς ὥστε σκευάζεσθαι· καὶ τὸν
ἐν ἀγρῷ ὄντα ἐπιστρέφεσθαι εἰς τὴν
οἰκίαν· καὶ τὸν ἐν τῇ οἰκίᾳ γὰρ
ὄντα φανῆναι δεῖ· οὐδὲν δὲ θαυμαστὸν
ἢ καὶ ἐν τῇ ἁλώσει τῆς Ἱερουσαλὴμ
ταῦτα γέγονε καὶ μέλλει δὲ αὖθις
γενήσεσθαι ἐν τῇ παρουσίᾳ τοῦ
ἀντιχρίστου· μᾶλλον δὲ πρὸς αὐτῷ
τῷ καιρῷ τῆς συντελείας· εἰπὲ τὸ
ιβ Καὶ τότε μᾶλλον τῆς γίνεσθαι ἀφορμῆς·
λ ἐγὼ δὲ ὑμῖν, ὅτι ταύτῃ τῇ νυκτὶ
ἔσονται δύο ἐπὶ κλίνης μιᾶς·
εἷς παραληφθήσεται καὶ ὁ ἕτερος
ἀφεθήσεται· δύο ἔσονται ἀλήθουσαι
ἐπὶ τὸ αὐτό· μία παραληφθήσεται
ιγ καὶ ἑτέρα ἀφεθήσεται. Καὶ ἀ-
ποκριθέντες λέγουσιν αὐτῷ· ποῦ
κύριε; ὁ δὲ εἶπεν αὐτοῖς· ὅπου τὸ
πτῶμα, ἐκεῖ συναχθήσονται οἱ ἀετοί.

Καὶ ἐνταῦθα τὸ ἀπροσδόκητον καὶ
αἰφνίδιον τῆς αὐτοῦ παρουσίας μαν-
θανόμεθα· τὸ γὰρ εἰπεῖν ὅτι ἰδοὺ
ἔσονται ἐπὶ κλίνης, ἀμεριμνίας
ἐμφαίνει· καὶ τὸ ἀλήθουσιν δέ, καὶ τοῦτο
ἀπροσδόκητον τὴν παρουσίαν τοῦ
κυρίου δηλοῖ· καὶ ἄλλο δὲ μανθάνομεν·
ὅτι ἐν νυκτὶ ἡ παρουσία ἔσται· δῆλ-
ον ὅτι καὶ ἐκ τῶν πλουσίων τῶν
ἐπὶ κλίνης ἀναπαυομένων, οἱ μὲν
σωθήσονται, οἱ δὲ οὔ· καὶ γὰρ
εἰ καὶ ὅτι δυσκόλως οἱ πλούσιοι
σώζονται, δῆλον καὶ πενήτων· ὅτι οὐ
ἀπόλλυνται οἱ τοιοῦτοι, ἐπεὶ πάντες
σώζονται· ἀλλ' αὐτὸς ἐκ τῶν πλουσί-
ων ὁ μέν, παραλαμβάνεται, ὡς ἄξιος τῆς
τοῦ κυρίου ἁρπαζόμενος ὡς κοῦφος
τῷ πνεύματι καὶ ὅμοιος· ὁ δέ, ἀφίεται
κάτω ὡς καταβαρύτατος· καὶ ἐκ
τῶν πενήτων ὁμοίως· οἱ μὲν
διὰ τοῦ ἀληθεῖν ἐσημάνθη·
οἱ μέν, σωθήσονται· οἱ δέ, οὔ· οὐ γὰρ
πάντες οἱ πένητες δίκαιοι·
ἐκ τούτων γὰρ οἱ κλέπται καὶ βα-
λαντιοτόμοι· διὰ τοῦ ἀλήθειν
οὖν τοῦ ἐπιπόνου καὶ τῶν
πενήτων ἐδήλωσεν· ἐρωτη-
σάντων δὲ τῶν μαθητῶν, ποῦ
κύριε παραληφθήσονται οὗτοι· φησὶν
ὅπου τὸ σῶμα, ἐκεῖ καὶ οἱ ἀετοί·
τουτέστιν ὅπου ὁ υἱὸς τοῦ ἀνθρώπου
ἐκεῖ καὶ οἱ ἅγιοι· οἱ κοῦφοι
καὶ ὑψιπετεῖς· ὅσοι δὲ ἁμαρτωλοὶ
βαρεῖς· διὸ καὶ κάτω φέρονται. γρ. ἄριστοι
ὥσπερ γὰρ σώματος νεκροῦ
κειμένου, πάντες οἱ σαρκοβόροι
ὄρνεις, ἐπ' αὐτὸ φέρονται· οὕτω
καὶ τοῦ υἱοῦ τοῦ ἀνθρώπου τοῦ δι' ἡμᾶς

μεταφερθέντος ὡς ἀπὸ πασῶν τῶν ἐθνῶν·
ἀπὸ τῶν ... φανέντων· πάντες
ὁμοῦ οἱ ἅγιοι ἀναχθήσονται καὶ ἀετοὶ
ὑψηλοί· μετεώρων γὰρ ἡ ζωὴ ἐν τῇ
δόξῃ τοῦ π(ατ)ρ(ὸ)ς καὶ ... αὐτῇ·
ἀετοὺς γὰρ ... ὠνόμασε τοὺς μακα-
ρίους μόνον· ἀλλὰ διὰ τὸ ἀπροσδόκη-
τον διὰ τὸ σκότος ἐπιφέρειν τοῖς ἁ-
μαρτωλοῖς τοῦτο εἶπε· τοῖς γὰρ
δικαίοις φῶς ἀνατελεῖ· καὶ
δὴ αὐτοὶ ἐκλάμψουσιν ὡς ὁ ἥλιος +

Ἔλεγε δὲ καὶ παραβολὴν αὐτοῖς
πρὸς τὸ δεῖν πάντοτε προσεύχεσθ(αι)
καὶ μὴ ἐκκακεῖν λέγων·
Κριτής τις ἦν ἔν τινι πόλει,
τὸν θ(εὸ)ν μὴ φοβούμενος καὶ ἄν(θρωπ)ον
μὴ ἐντρεπόμενος· χήρα δὲ
ἦν ἐν τῇ πόλει ἐκείνῃ· καὶ
ἤρχετο πρὸς αὐτὸν λέγουσα·
ἐκδίκησόν με ἀπὸ τοῦ ἀντι-
δίκου μου· καὶ οὐκ ἠθέλησεν
ἐπὶ χρόνον· μετὰ δὲ ταῦτα
εἶπεν ἐν ἑαυτῷ· εἰ καὶ τὸν θ(εὸ)ν
οὐ φοβοῦμαι, καὶ ἄν(θρωπ)ον οὐκ ἐν-
τρέπομαι· διά γε τὸ παρέχειν
μοι κόπον τὴν χήραν ταύτην,
ἐκδικήσω αὐτήν· ἵνα μὴ εἰς
τέλος ἐρχομένη ὑπωπιάζῃ με·
εἶπε δὲ ὁ κ(ύριο)ς· ἀκούσατε τί ὁ
κριτὴς τῆς ἀδικίας λέγει· ὁ δὲ
θ(εὸ)ς οὐ μὴ ποιήσῃ τὴν ἐκδίκ(ησιν)
τῶν ἐκλεκτῶν αὐτοῦ τῶν
βοώντων πρὸς αὐτὸν ἡμέρας
καὶ νυκτός· καὶ μακροθυμῶν
ἐπ' αὐτοῖς; λέγω ὑμῖν ὅτι ποιή-
σει τὴν ἐκδίκησιν αὐτῶν ἐν
τάχει. πλὴν ὁ υἱὸς τοῦ ἀν(θρώπ)ου
ἐλθὼν ἆρα εὑρήσει τὴν πίστιν
ἐπὶ τῆς γῆς :— Ἐπιτηδείως
ἐμνημόνευσε καὶ κινδύνων οἱ
ἐπιφέρει ὡς ἡμῶν θεραπεῦσαι π...
ἥ δέ ἐστιν ἡ προσευχή· καὶ ὁ χάρις τῆς
προσευχῆς· ἀλλ' οὐ μόνος καὶ με-
μετρημένη ... μάλιστα γὰρ θ(εὸ)ς
τοῖς τότε σημαίνουσι πάντη π...
ἀλλὰ ... καὶ ὁ θ(εὸ)ς προσ...
ἡ προσευχή· ἵνα ὥσπερ εἶναι μόνον
καὶ συνεχῶς ποιεῖσθαι· δι' ἡμᾶς
ἐμνημόνευσε τοῦ κριτοῦ τῆς ἀ-
δικίας ἢ τῆς χήρας προσεδρίας
κατὰ τὸ δίκαιον ποιεῖν· εἰ γὰρ τοῦτον
τὸν ... καὶ τὰς ...
καὶ πρὸς θ(εὸ)ν ὡς πρὸς αὐτοὺς ...
δεόμενον ἡ καρτερία ἐμάλαξε·
πρὸς ... μᾶλλον ἡ ἱκεσία τοῦ πατρὸς τοῦ
δικαίου θ(εο)ῦ ὁ χ(ριστὸ)ς ... ἐκ ...
καὶ μακροθυμεῖ πρὸς τὸ πόρρω
ὁρᾶν δὲ ὁ ... αὐτοῖς αἰσχύν...

χεῖρον κακίας δεῖγμα· τὸν μὲν γὰρ
θ(εὸ)ν πολλοὶ οὐ φοβοῦνται· τὴν
δ' ἀλλήλοις αἰσχύνονται· διὸ καὶ
ἡττον ἁμαρτάνουσιν· ὁ τὸν δὲ
καὶ πρὸς ἀνθρώπους ἀναισχυντήσαν-
τας, ἐν ταύτῃ ἤδη τῆς κακί-
ας κορυφῇ· διὸ ὡς ὁ κ(ύριο)ς ὕστερον
τέθεικε τό, ἄνθρωπον μὴ ἐντρεπόμενος·
...σαφῶς τοῦτο λέγων ὅτι κριτὴς
ἦν τὸν θ(εὸ)ν μὴ φοβούμενος·
καὶ τί λέγω τοῦτο ὅτι τὸν θ(εὸ)ν
οὐκ ἐφοβεῖτο· τὸ μὲν ζημίας χεῖρον
δεῖγμα τῆς κακίας ὅτι οὐδὲ
ἀνθρώπων ᾐσχύνετο· ταῦτα μὲν οὖν
ἡ παραβολὴ ἡμᾶς διδάσκει ὡς
προσχαλεπὸς εἶπομεν· νουθετοῦσα
μὴ ἐκκακεῖν ἐν ταῖς προσευχαῖς,
ὡς περὶ οὖν καὶ ἀλλαχοῦ ἔφησεν·
ὅτι τίς ἐξ ὑμῶν φίλον ἔχων, ἐπ-
ελθοῦ(σα) καὶ κρούοντα μεσονυκτίου
ἀποπέμψεται· διὰ γὰρ τὴν
ἀναίδειαν αὐτοῦ ἐγερθεὶς δὲ ἀνοίγει
μοι ζεῖ· καὶ πάλιν τίς ἐξ ὑμῶν
ἐὰν ὁ υἱὸς αὐτοῦ ἄρτον αἰτήσῃ
[illegible] ὄφιν· διὰ τούτων γὰρ πάντων
τὴν ἐκτενῆ μονὴν σχολὴν ἐν ταῖς
προσευχαῖς ἤγειρεν ὁ σωτήρ· τίθεται
δὲ ἡ γραφὴ αὐτῆς ὁδὸν δέ τινα περὶ ἕτε-
ρον τρόπον τὴν παραβολὴν ταύτην
ἐκλαβέσθαι καὶ ἀποφήνασθαι ἐν ᾗ

μὴ ὅτι τὴν ἀλήθειαν· χήραν μὲν γὰρ
ἔφασαν εἶναι· τὴν ψυχήν·
τὸν ἄνδρα αὐτῆς ἀποβαλοῦσαν·
ὃν εἶχε πρότερον τὸν διάβολον
φημί· καὶ διὰ τοῦτο ἀντίδικον
αὐτὸν ἔχουσαν ἀεὶ ἐπιτιθέμενον
αὐτῇ· ἡ δὲ προσέρχεται τῷ θεῷ
τῷ κριτῇ τῆς ἀδικίας τουτέστι
τῷ καταλύοντι τὴν ἀδικίαν·
ὃς οὔτε θ(εὸ)ν φοβεῖται· αὐτὸς
γάρ ἐστι θ(εὸ)ς μόνος καὶ οὐκ ἔχει
ὃν φοβηθήσεται ἕτερον· ἀλλ' οὔτε
ἀνθρώπων αἰσχύνεται· θ(εὸ)ς γὰρ πρόσω-
πον ἀνθρώπου οὐ λαμβάνει· ταύτην οὖν
τὴν χήραν ψυχὴν ἐκδικήσειν
θ(εὸ)ν συντόμως, διὰ τὸν ἀντίδικ(ον)
αὐτῆς διάβολον· οἰκτείρει θ(εὸ)ς
καταδυναστευομένης αὐτοῦ
τῆς προσεδρείας αὐτῆς· ταῦτα
μὲν οὖν ὅτι τὸν φίλον διελθόντα
προσεδόθη γὰρ ἵνα καὶ ἀνοίσωσι
περὶ ταῦτα διδάξας ἡμᾶς
ὁ κ(ύριο)ς, περὶ τοῦ δεῖν προσεύχεσθαι
καὶ ὑπομνήσας ὅτι ἐστὶν οὕτως ἀεὶ
καὶ πάσης κακίας ἐπιτελὴς καὶ
ἀπόκτησε τὴν συνοχὴν τῆς
δεήσεως, προστίθησι μᾶλλον
ὁ θ(εὸ)ς ὁ πάσης δικαιοσύνης
ἀρχηγός, οὐ ποιήσει τὴν ἐκ-
δίκησιν ἐν τάχει· καὶ τοι καὶ

κρὸ θ... ὑμῶν ὡς φαινομένης
ἀμελείας αὐτῶν τῶν δεομένων αὐτοῦ
νυκτὸς καὶ ἡμέρας. Ταῦτα οὖν
διδάξας ἡμᾶς ὅτι ἐν παντὶ καιρῷ
τῆς συντελείας τῇ προσευχῇ
χρὴ αὐτὸν πρὸς τοὺς μέλλοντας
τότε κινδύνους ἐπιγενήσεσθαι.
ἐπιφέρει· ὅτι ἄρα ἐλθὼν ὁ
υἱὸς τοῦ ἀνθρώπου ἆρα εὑρήσει τὴν πίστιν
ἐπὶ τῆς γῆς; ἐν σχήματι ἐρω-
τήσεως τοῦτο τεκμηριώσας
πιστῶν τὸ σπάνιον ὑπεσήμηνε.
τοσοῦτον γὰρ κατακρατήσει
τότε ὁ υἱὸς τῆς ἀνομίας ὥστε
πλανῆσαι καὶ τοὺς ἐκλεκτούς, εἰ
δυνατόν· ἴσως δὲ δὴ ἐπὶ τοῦ
...ου ἐπισκοπείου ... ἐρω-
τηματικῷ τρόπῳ χρήσασθαι.
ὡς καὶ ἐπὶ τοῦ τίς ἄρα ἐστὶν ὁ
πιστὸς καὶ φρόνιμος δοῦλος·
καὶ ἐνταῦθα οὖν τὸ αὐτὸ ὑποδηλοῖ
καὶ ὅτι μὲν ὀλίγοι ἔσονται
οἱ τὴν πρὸς τὸν θεὸν καὶ πρὸς
ἀλλήλους πίστιν φυλάττοντες
τῇ ἐρωτήσει ταύτῃ ἐχρήσατο.
ἴσως δὲ τῇ περὶ τοῦ προ-
σεύχεσθαι παραθέσει τοῦ περὶ
τῆς πίστεως λόγον συνῆψεν·
ἐπεὶ γὰρ ὁ πιστὸς προσευχὴν
ἀναφέρει ... ἡ πίστις·

ἅμα γὰρ ... ὅτι
ὅπερ ἐστὶν αἰτήσει λήψεται πρὸς
τὸ συμφέρον, μάταιον ἂν προσευ-
χὴν ποιεῖται. Διὰ τοῦτο ὁ Κύριος
περὶ τοῦ προσεύχεσθαι διδάξας
καὶ τῆς πίστεως ἐμνήσθη· δηλῶν
κἀκεῖνο παρεμφαίνων ὅτι ὀλίγων
ἐστὶ καὶ τὸ προσεύχεσθαι τό τε
ἔτι δὲ καὶ ἡ πίστις ἐν ὀλίγοις εὑρε-
θήσεται· ἐλθὼν οὖν ὁ Κύριος ἐν με-
[illegible], οὐχ εὑρήσει τὴν πίστιν ἐπὶ
τῆς γῆς, ἀλλ' ἄρα ἐν ὀλίγοις· ποίαν
δὲ ταύτην; τὸ τέλειον· τὸ γὰρ
ὁμολογῆσαι μόνον ὅτι Κύριος Ἰησοῦς Χριστὸς
εἰς δόξαν θεοῦ πατρός· καὶ ἄγε χρὴ
ταύτην πίστιν, ἀλλὰ καὶ ἀμφότερον
εἰ ποιεῖν· οὐδὲ γὰρ τῶν ἀπίστων ἐστὶν
ὃς οὐ ποιήσας ὅτι λαλοῦσιν πρὸ ὁ
παρ' αὐτῶν πρὶν ...
Εἶπε δὲ πρός τινας τοὺς πεποι-
θότας ἐφ' ἑαυτοῖς ὅτι εἰσὶ δίκαιοι.
Καὶ ἐξουθενοῦντας τοὺς λοιπούς·
τὴν παραβολὴν ταύτην·
Ἄνθρωποι δύο ἀνέβησαν εἰς τὸ ἱερὸν
προσεύξασθαι· ὁ εἷς φαρισαῖος
καὶ ὁ ἕτερος τελώνης. ὁ φαρι-
σαῖος σταθεὶς πρὸς ἑαυτὸν
ταῦτα προσηύχετο· ὁ θεὸς εὐ-
χαριστῶ σοι ὅτι οὐκ εἰμὶ
ὥσπερ οἱ λοιποὶ τῶν ἀνθρώπων.

γὰρ ἅρπαγες· ἄδικοι· μοιχοί· ἢ
καὶ ὡς οὗτος ὁ τελώνης· νηστεύω
δὶς τοῦ σαββάτου· ἀποδεκατῶ
πάντα ὅσα κτῶμαι· καὶ ὁ τελώνης
μακρόθεν ἑστὼς· οὐκ ἤθελεν
οὐδὲ τοὺς ὀφθαλμοὺς εἰς τὸν
οὐρανὸν ἐπᾶραι· ἀλλ' ἔτυπτεν
εἰς τὸ στῆθος αὐτοῦ λέγων·
ὁ θεὸς ἱλάσθητί μοι τῷ ἁμαρτωλῷ·
λέγω ὑμῖν κατέβη οὗτος δε-
δικαιωμένος εἰς τὸν οἶκον
αὐτοῦ ἢ γὰρ ἐκεῖνος· ὅτι πᾶς
ὁ ὑψῶν ἑαυτὸν ταπεινωθήσεται·
ὁ δὲ ταπεινῶν ἑαυτὸν ὑψωθήσεται:—
Θεραπεύει ὁ κύριος τὸ τῆς ὑπερη-
φανίας πάθος ἐκκαθαίρων
διὰ πλειόνων· ἐπιφανῶς γὰρ πάν-
των ἄλλων παθῶν ἐνοχλεῖ ταῖς
δυνάμεσι γνώμαις· διὰ τοῦτο
πολλαχοῦ καὶ πολλάκις διδάσκει·
ἀμβλεῖ καὶ ὑμῖν τὸ χεῖρον εἶδος
ταύτης ἐκκαθαίρει· πολλῶν
μὲν γὰρ καὶ τῆς φιλαυτίας
καταστήματα· καὶ γὰρ καὶ οἴησις καὶ
ἀλαζονεία καὶ φιλοδοξία ἐκ
ταύτης φύονται· ὀλεθριωτάτη
δὲ πάντων ἡ ὑπερηφανία·
ὑπερηφανία δέ ἐστιν ἀθέτησις
θεοῦ· ὅταν γάρ τις οὐ τῷ θεῷ·
ἀλλ' ἑαυτῷ ἐπιγράφῃ τὰ

κατορθώματα· τί ἄλλο ἢ ἄρνησις
θεοῦ ἐστι καὶ ἀντίθεσις· τοῦτο
τοίνυν τὸ πάθος τὸ ἀντίθε-
ον ὁ κύριος ἀντιτάττεται ὡς ἐχθρὸν
ἐχθρῷ· διὰ τῆς παραβολῆς
ταύτης ὁ κύριος θεραπεύειν ἐπαγ-
γέλλεται· διὰ γὰρ τοὺς πε-
ποιθότας ἐφ' ἑαυτοῖς
καὶ μὴ τὸ πᾶν θεῷ ἀναλογίζοντας
ἀλλὰ διὰ τοῦτο καὶ τοὺς ἄλλους
ἐξουθενοῦντας ταύτην εἶπεν·
καὶ διδάσκων ὅτι ἡ δικαιοσύνη
τὰ ἄλλα θαυμαστή πως οὖσα
καὶ παρὰ θεοῦ τῶν ἀμοιβῶν ἀξιοῦσα·
ὅταν τὴν ὑπερηφανίαν προσ-
λάβηται ὥσπερ κατορθωτὴς
τῶν ἀμοιβῶν ἀπορρίπτει καὶ ἀδόκιμον
ποιεῖ· τοὺς τέως ἰσοθέους χρη-
ματίζοντας· ἐκεῖνος ὢν τὰ
ῥήματα τοῦ φαρισαίου· ἐ-
ξάρχεται μὲν ὡς εὐγνώμονος
ἀμφιλόγοις· εὐχαριστῶ σοι
γάρ φησιν ὁ θεός· τὰ λοιπὰ ἄλλων·
τὰ ἑξῆς δὲ πάσης ἀπονοίας
πεπληρωμένα· οὐ γάρ εἰμι
ὅτι εἰμὶ ἢ ὅσα ... ἀπέχειν ἀπὸ
τῆς ἀδικίας· ἀπὸ ἁρπαγῆς·
ἀλλὰ πάσης ἐκείνων· ἑαυτὸν
συνιστῶν τὸ κατόρθωμα
καὶ τὴν οἰκείαν ἰσχύν· τὸ δὲ καὶ

τοῖς ἄλλοις καταλαλεῖν· τοῦτο
πάντων ἐστίν· ἄμου ἀδόντος· ὡς
παρὰ θεοῦ ἔχεται ἔχει· πάντα
γὰρ ἐστὶν ἀγαθὸν ὅτι χάριτι ἔχει
ται ἄλλο ὅτι ἄρισται ἀγαθῶν· οὐκ ἂν
τοῖς ἄλλοις ἐξουθένει· λογιζόμενος
ὅτι καὶ αὐτὸς ἐστὶν ὡς γεγενημένος ἐστί·
ὅσον τὸ ἐστὶν τῇ οἰκείᾳ δυνάμει
διορθοῦμαι δὲ ἐνεδύθη διὰ ἄλλον·
διὰ τοῦτο ὑπερήφανος ὁ φα
ρισαῖος ὡς οἰκείαν ἰσχὺν ἐπι
γράφων τῆς εἰργασμένης· καὶ
τὰ ἐθνικὰ ποιῆσαι ἔχθει καὶ τοῖς ἄλλοις
καταλαλεῖν· ἐστὶν ἡ κακία μὲν
ὁ κύριος διὰ τοῦ ἀγαθοῦ· τὸ ὑψη
λόφρον αὐτοῦ καὶ ἀπαιτεῖ ταπεινόν·
τοῦ μὲν γὰρ ταπεινόφρονος καὶ
τὸ ὁρᾶν μείζον, ταπεινόν· ὁ τοσ
δὲ καὶ τὸ σχῆμα καὶ ἰσοβαρὲς τὸ
ἐπεδείκνυτο. ἃ δὲ καὶ περὶ τοῦ τε
λώνου εἴρηται τὸ ἑστώς, ἀλλ' ὅρα
καὶ τὸ ἐφεξῆς ὅτι οὐδὲ τοῖς ὀ
φθαλμοῖς ἠθέλησεν εἰς τὸν οὐρανὸν
ἀτενίσαι καὶ ἐπᾶραι· ὥστε καὶ
ἡ στάσις αὐτοῦ συγκεκυφυῖα
ἦν· ἐκάμμυον δὲ καὶ οἱ ὀφθαλμοὶ
εἰς τὸν οὐρανὸν ἀπήρον τὸ καὶ τὴν
καρδίαν συνετρίβετο· ὁρᾶς δὲ
κατὰ τὴν τοῦ φαρισαίου ἀρχὴν τάξιν
ὑποδεικνύμενος ἢ καὶ μὴ· παρὸ

γὰρ εἰπὼν, ὅτι οὐκ εἰμὶ καὶ τὸ τε
κατέλιξεν αὐτὸν εὐχήν. εἰπὼν γὰρ
οὐκ εἰμὶ ὥσπερ οἱ λοιποὶ τῶν ἀνθρώπων
ἅρπαγες καὶ ἄδικοι· προσέθηκε καὶ
ταῦτα τῆς ἀρετῆς· τὸ νηστεύειν δὶς
τοῦ σαββάτου· καὶ τὸ ἀποδεκατοῦν
ὅσα κτᾶται· δεῖ γὰρ μὴ ἐκκλίνειν
μόνον ἀπὸ κακοῦ καὶ ποιεῖν ἀγαθόν·
καὶ πρότερον δεῖ ἀπέχεσθαι τῆς
κακίας, καὶ τότε ἐπὶ τὰς ἀρετὰς ἐπιχειρεῖν·
ὥσπερ οὖν καὶ πηγὴν βορ
βορώδη τις ἐὰν μέλλῃ ἀπο
ρεύσασθαι καθαρόν, πρότερον
ἐκκαθαρεῖ τὸν βόρβορον· καὶ
τότε τὸ ῥεῖθρον τὸ καθαρόν· καὶ
τοῦτο ἐπισκόπησον, πῶς οὐκ εἶπεν
ὅτι οὐκ εἰμὶ ὥσπερ οἱ πολλοί ἢ ἅπαξ
μοιχός· οὐδὲ γὰρ κατεδέξατο
ἄχρι καὶ ῥήματος ψιλοῦ ὁμοίως
διαβολικῶν λεγομένων τῶν ἑαυτοῦ προ
σώπων μονάδι κακὸν προσάπτει·
ἀλλὰ πληθυντικῶς τοῖς λοιποῖς
ὁμοίως ταῦτα προσέρριψεν·
εἰπὼν δὲ ὡς οὐκ εἰμὶ ὥσπερ οἱ λοιποί
ἀντέθηκε τούτῳ τὸ νηστεύω
δὶς τοῦ σαββάτου· τουτέστι δὶς
τῆς ἑβδομάδος· σάββατον
γὰρ ἡ ἑβδομὰς ἐκλήθη ἀπὸ τῆς
τελευταίας καὶ ἀναπαύσιμου
ἡμέρας ὀνομαζομένη· σαββ

γὰρ ἡ ἀνάπαυσις. καὶ σάββατα
δὲ τὴν ἑβδομάδα ἐκάλουν πλη-
θυντικῶς. ὅθεν καὶ μίαν σαββάτων
τὴν πρώτην ἡμέραν τῆς ἑβδο-
μάδος, τὴν παρ' ἡμῖν κυριακὴν
ἐκάλουν. παρὰ γὰρ Ἑβραίοις
τὸ μίαν, τοῦτο σημαίνει τὸ πρῶτον.
ὄντος δὲ ἑτέρου λόγου βαθυτέρου.
προσθέσθαι τὸ τῆς μοιχείας
πάθος, τὴν νηστείαν ἀντιτα-
ξάμενος. καὶ γὰρ ὁ ποτε τρυφῆς
ἡ λαγνεία. ἑαυτὸς μὲν ποιεῖ τὸ σῶμα
διανηστεύσας ἔχειν. πολὺ ἀπέχω
τῶν τοιούτων παθῶν. εὐκαιρον
δὲ ἄρα οἱ Φαρισαῖοι. δευτέραν
καὶ πέμπτην. πρὸς δὲ τὸ ἁρπάζειν
καὶ ἀδικεῖν· ἀντιτάσσει τὸ ἀποδεκατοῦν
ὅσα κτῶμαι. τοσοῦτον γάρ φησιν
ἐναντιοῦμαι τῇ ἁρπαγῇ καὶ ἀδικίᾳ,
ὥστε καὶ τὰ ἐμαυτοῦ προδίδωμι.
ἡ δὲ δεκάτωσις· διπλῆν μὲν τίσιν
διπλοῦς καὶ ὅλως παρὰ τοῦ νόμου
διαγορεύεσθαι. τοῖς δὲ βαθύτε-
ρον ὁρῶσιν αὐτοῦ, εὑρίσκεται
τρίτης δὲ καὶ τὰς ὅσας ἤσθιον ἀγομένου.
καὶ τοῦτο ἐκ τοῦ δευτερονομίου
μαθεῖν ἔστιν ἀκριβῶς ἐντυχόντας.
ταῦτα μὲν οὖν ὁ Φαρισαῖος.
ὁ δὲ τελώνης μὴ τὴν ἐναντίαν
μακρόθεν ἑστὼς ἀπὸ τοῦ Φαρισαίου

καὶ σχήματι καὶ ῥήματι. καὶ κατα-
νύξει καρδίας. πάνυ πολὺ
ἀπέχων αὐτοῦ. καὶ οὐ μόνον
τῷ τόπῳ καὶ τῷ σχήματι. τοσοῦ-
τε γὰρ ὀφθαλμοὺς ἤδη τοὺς
τοῦ οὐρανοῦ ἄραι. ἀναξίους τῆς
τῶν ἄνω θέας κρίνων τοὺς
τοῦ τῆς γῆς ἀγαθὰ μόνον καὶ
καρποῦσθαι θελήσαντας.
ὥστε τὸ στῆθος αὐτοῦ ἔτυπτε
τὴν καρδίαν ἑαυτοῦ πλήττων ὑπὲρ
τῶν πονηρῶν βουλευμάτων
καὶ ὥσπερ αἴσθησιν ἀγαγεῖν οἷα κα-
θεύδουσαν. καὶ οὐδὲν ἄλλο ἔλεγεν.
ἢ ὁ θεὸς ἱλάσθητί μοι τῷ ἁμαρτωλῷ.
καὶ διὰ τούτων ἁπάντων καὶ
τετύχηκε δικαιοσύνης. ἡ γὰρ εὐχὴ
δύναται τοῦ πρὸ ἐκείνου. ἀκάθαρτος
γὰρ παρὰ θεῷ πᾶς ὑψηλοκάρδιος.
καὶ κύριος ὑπερηφάνοις ἀντιτάσσεται.
ταπεινοῖ[...] δὲ δίδωσι χάριν.
ἀλλὰ θαυ[...]μάσειεν ἄν τις πῶς
ὁ μὲν Φαρισαῖος ὀλίγα ῥήματα
μεγαλοφροσύνης προϊέμενος
κατακρίνεται. ὁ δὲ Ἰὼβ πάμπολλα
μεγαλορρημονήσας ἐστεφανοῦτο.
ὅτι ὁ μὲν Φαρισαῖος, οὐδενὸς
ἀναγκάζοντος, ἑαυτὸν τοιαῦτα
ματαιολογήσας καὶ κρίνων
ἑτέρους· ὁ δὲ μυρίας χρείας κα-
τεπειγούσης.

ὁ δὲ Ἰὼβ τῶν φίλων ἀπὸ τῆς γνώμης
αὐτοῦ καὶ φορτικῶν προυτίθουν συμ-
φορὰς ἐκ κακίας λεγόντων ὅτι
δι' ἁμαρτίας ταῦτα πέπονθας·
ἠναγκάσθη ἀπαριθμήσασθαι τὰ
οἰκεῖα κατορθώματα· καὶ τοῦτο
ὑπὲρ τῆς δόξης τῆς ἀληθείας
καὶ τοῦ μὴ ἐκκοπῆναι τῶν αὐτῶν
τοῦ ἐπ' ἀρετῆς δρόμον· ἡ γὰρ ἑτε-
ροφορῆσθαι [hole] οἱ αὐτοὶ ὅτι ἁμαρ-
τήσαντες ἂν ἐποίει Ἰὼβ καὶ δὴ ἐκεῖνα
πράξῃ· ἀπέχοντο ἂν τοῦ τὰ
αὐτὰ ποιεῖν· καὶ τοίνυν ἐγίνοντο
ἂν μισόξενοι ἀντὶ φιλοξένων
ἀνελεήμονες ἀντὶ ἐλεημόνων
καὶ δικαίων· ταῦτα γὰρ ἦσαν
τοῦ Ἰὼβ τὰ ἔργα· ἵνα τοίνυν μὴ
βλαβῶσιν πολλοὶ τούτου ἕνεκεν
ἀπαριθμεῖται τὰ κατορθώματα
τοῦ μακαρίου Ἰὼβ· αὕτη ἡ αἰτία.
ἵνα μὴ λάθωμεν [hole] ὅτι καὶ
ἐν αὐτοῖς τοῖς ῥή[μασι] [hole] μασι τὸ
δοκοῦν μεγαλοπρεπείας καὶ
μεγαληγορίας· ταπεινοφροσύνη
ἐκλάμπει· τίς γὰρ ἂν μὴ θαυμάσῃ
καταμανθάνων τὸν μὲν ἐμπροσ-
θεν τὸ ὅλον θεῷ μὲν ἐφύλαττεν· ὁρᾷς
ὅτι θεῷ τὸ πᾶν ἐτίθηκε καὶ οὐδὲ
κατακρίνει ἑτέρους· ἀλλὰ μᾶλλον
κατακρίνεται ὑπὸ τῶν φίλων.

τοῦ δὲ Φαρισαίου ὡς ἐξουθενοῦντος καὶ μὴ
ἔχοντος θεὸν τὸ πᾶν ἀναφέροντι καὶ δι'
ἀναμαρτήτως ἑτέροις κατακρίνοντος
ἐκ λόγων ἢ κατάκριτος ἐγένετο.
πᾶς γὰρ ὁ ὑψῶν ἑαυτὸν ταπεινω-
θήσεται ὑπὸ θεοῦ κατακρινόμενος·
ὁ δὲ ταπεινῶν ἑαυτὸν ὑψωθήσεται
παρὰ θεοῦ δικαιούμενος· λέγε γάρ φησι
σὺ πρῶτος τὰς ἁμαρτίας σου
ἵνα δικαιωθῇς :— Κε
σις Προσέφερον δὲ αὐτῷ καὶ τὰ βρέφη
ἵνα αὐτῶν ἅπτηται· ἰδόντες
δὲ οἱ μαθηταὶ ἐπετίμησαν αὐτοῖς.
ὁ δὲ Ἰησοῦς προσκαλεσάμενος αὐτὰ
εἶπεν· ἄφετε τὰ παιδία ἔρχεσθαι
πρός με καὶ μὴ κωλύετε αὐτά· τῶν
γὰρ τοιούτων ἐστὶν ἡ βασι-
σιζ λεία τῶν οὐρανῶν· ἀμὴν λέγω ὑμῖν.
ὃς ἐὰν μὴ δέξηται τὴν βασι-
λείαν τοῦ θεοῦ ὡς παιδίον, οὐ μὴ
εἰσέλθῃ εἰς αὐτήν. + ἑρ
Καὶ τοῦτο πρὸς μετριοφροσύνην
συμβάλλεται τὰ τῶν παιδίων·
διδάσκει γὰρ διὰ τούτου ὁ Κύριος
ταπεινοφρονεῖν· οἱ μὲν γὰρ μαθηταὶ
ἀνάξιον ἡγοῦντο τοῦ τηλικούτου
διδασκάλου τὸ προσφέρεσθαι
αὐτῷ παιδία· ὁ δὲ δείκνυσιν
αὐτοῖς ὅτι τοσοῦτον δεῖ ταπει-
νοφρονεῖν ὡς καὶ τὰ ὀλίγα σω

καὶ μὴ κωλύεσθαι· καὶ οὕτω μὲν δι-
δάσκει τὴν ταπεινοφροσύνην
δι᾽ ὧν ἔπραξε· καὶ αὐτὸ τοῦτο μὲν
ἀλλ᾽ ἢ δι᾽ ὧν παρεδέξατο αὐτῶν τὰ
βρέφη· διδάσκει δὲ καὶ διὰ λόγου
ὅτι τῶν κατὰ τὰ παιδία διακειμένων
ἐστὶν ἡ βασιλεία τοῦ θεοῦ· τὸ παιδίον
οὐκ ἐπαίρεται· οὐκ ἐξουθενεῖ
τινά· ἀκέραιόν ἐστι καὶ ἄδολον·
οὔτε ἐπὶ τοῖς λαμπροῖς ὀγκοῦται·
οὔτε ἐπὶ τοῖς λυπηροῖς συστέλλεται·
ἀλλ᾽ ἀεὶ ἐν ἁπλότητι διαμένει· ὥστε
ὁ ταπεινοφρόνως ζῶν καὶ ἀκάκως,
ἐκεῖνος παρὰ τῷ θεῷ προσ-
δεκτέος· καὶ ὁ δεχόμενος τὴν βασι-
λείαν τοῦ θεοῦ ὡς παιδίον, τουτέστιν
ἀδόλως ἀπολυπραγμονήτως
πιστῶς· ὁ γὰρ περίεργος καὶ
ἀνερευνῶν τὰ [illegible] ἀπι-
στίας [illegible]· οὐ μὴ εἰσέλθῃ
εἰς τὴν βασιλείαν· ἣν δὲ ἁπλοῦς καὶ ἀ-
περίεργος καὶ μετριόφρων
οὐκ ἂν θέλει αὐτὴν παραδέξασθαι.
πάντες μὲν οὖν οἱ ἀπόστολοι καὶ
πάντες δὲ ἁπλῶς οἱ πιστεύσαντες
τῷ Χριστῷ, παιδία ἂν κληθεῖεν·
ὡς καὶ αὐτὸς ὁ Κύριος· παιδία τοὺς
ἀποστόλους ὠνόμασε· παιδία
μή τι προσφάγιον ἔχετε· οἱ δὲ
σοφοὶ τῶν Ἑλλήνων σοφοί εἰσιν

τῶν μυστηρίων ζητεῖ· τοιούτων ὅτι ἐστὶν
ἡ βασιλεία τοῦ θεοῦ· καὶ μὴ δόξῃς
ἀσυλλογίστως τοῦτο μόνον λέγεσθαι.
εἰκότως δὲ ἐξουθενεῖσθαι ταύτης·
οὐκ εἶπε δὲ ὅτι τούτων ἐστὶν ἡ
βασιλεία τοῦ θεοῦ· ἀλλὰ τῶν τοιού-
των· τουτέστι τῶν τὴν ἀκακίαν καὶ
μετριοφροσύνην προαιρέσει κε-
κτημένων· ἣν τὰ παιδία
φυσικῶς ἔχουσι· δείξας οὖν
ὅσοι τὸ μίμημα σώζουσι καὶ αὐτῶν ἐστὶν
ἡ βασιλεία τοῦ θεοῦ ἀπεριέργως καὶ
πιστῶς καὶ μετριοφρόνως·
τὸ γὰρ περιεργάζεσθαι, οἰήσεως
καὶ ἀδοξοσοφίας + κεφ. ιη
σιη Καὶ ἐπηρώτησέ τις αὐτὸν ἄρχων
λέγων· Διδάσκαλε ἀγαθέ·
τί ποιήσας ζωὴν αἰώνιον κλη-
ρονομήσω· εἶπε δὲ αὐτῷ
ὁ Ἰησοῦς, τί με λέγεις ἀγαθόν·
οὐδεὶς ἀγαθός, εἰ μὴ εἷς ὁ θεός·
τὰς ἐντολὰς οἶδας· μὴ μοιχεύσῃς·
μὴ φονεύσῃς· μὴ κλέψῃς· μὴ
ψευδομαρτυρήσῃς· τίμα τὸν
πατέρα σου καὶ τὴν μητέρα σου·
ὁ δὲ εἶπε· ταῦτα πάντα
ἐφυλαξάμην ἐκ νεότητός μου·
σιθ ἀκούσας δὲ ταῦτα ὁ Ἰησοῦς εἶπεν
αὐτῷ· ἔτι ἕν σοι λείπει·
πάντα ὅσα ἔχεις πώλησον

καὶ δὸς πτωχοῖς· καὶ ἕξεις
θησαυρὸν ἐν οὐρανῷ· καὶ δεῦρο
εκ ἀκολούθει μοι· ὁ δὲ ἀκούσας
ταῦτα περίλυπος ἐγένετο· ἦν
γὰρ πλούσιος σφόδρα· + ἑρμ(ηνεία)
Ἄλλοι μέν φασιν· οὗτος ὁ νέος πα
νοῦργός τις εἶναι· καὶ ὥσπερ παγι
δεῦσαι ζητῶν τὸν Ἰησοῦν ἐν λόγοις·
οὐκ ἔοικε δὲ τοῦτο, ἀλλὰ φιλάργυρος
εἶναι· ἐπεὶ καὶ ὁ Χριστὸς τοιοῦτον αὐτ
ὸν ὄντα ἤλεγξε· καὶ γὰρ ὁ Μάρκος
φησὶν ὅτι προσδραμὼν καὶ γο
νυπετῶν παρεκάλει τὸν Ἰησοῦν· καὶ
ὅτι ἐμβλέψας αὐτῷ ὁ Ἰησοῦς ἠγάπησεν
αὐτόν· φιλοχρήματος δὲ οἷον ὁ
νέος· προσῆλθε δὲ τῷ Ἰησοῦ μαθεῖν
ἐφιέμενος περὶ ζωῆς αἰωνί
ου· τάχα ὡς φιλοχρήματος καὶ τοῦτο·
οὐδεὶς γὰρ οὕτω φιλόζωος ὡς
φιλοχρήματος ἄνθρωπος· ἐγὼ μέντοι
οἶμαι τὸν Ἰησοῦν ὑποθέσθαι αὐτῷ τρόπον
δι' οὗ αἰωνίως ζήσεται καὶ τοῦ
ἀπολαύων τῆς κατασχέσεως
τῶν χρημάτων· ὡς δὲ ὁ κύριος τὴν
ἀπόκρισιν εἶπεν εἶναι πρό
ξενον τῆς αἰωνίου ζωῆς ὡσ
περ ἐμεμψάμενος αὐτῷ
τῆς ἐρωτήσεως καὶ τῷ Ἰησοῦ τῆς
ἀποκρίσεως, ἀπέστησιν· αὐτὸς
γάρ τοι ᾤετο ἔχειν χρημάτων

ὅτι πολὺ ἐχρῆζε τῆς αἰωνίου ζωῆς·
ἐπεὶ τὰ χρήματα ἔμελλεν ἀπο
κτᾶσθαι, τὴν δὲ μεγάλην τῆς αἰωνί
ζωῆς· τὸν μὴ τιμήσαντι ζητεῖν
ὡς γε ἐδόκει· προσέρχεται
οὖν τῷ κυρίῳ ὡς ἁπλῷ ἀνθρώπῳ καὶ
διδασκάλῳ· διὸ ὁ κύριος δεικνύων
ὅτι οὐ δεῖ ὡς ἀνθρώπῳ αὐτῷ προσιέναι
ψιλῷ, εἶπεν· οὐδεὶς ἀγαθὸς
εἰ μὴ εἷς ὁ θεός· ἀγαθόν με φησὶν
εἶπας· τί οὖν προσέθηκας
τὸ διδάσκαλε· φαίνεται γὰρ ὅτι
ἕνα τῶν πολλῶν με ὑπολαμ
βάνεις· ἀλλὰ τοῦτο οὐκ ἔστιν ἀγαθός·
οὐδεὶς γὰρ ἄνθρωπος ἀγαθὸς κυρίως·
εἰ μὴ εἷς ὁ θεός· ὥστε εἰ θέλεις
ἀγαθόν με λέγειν, ὡς θεόν με λέγε
ἀγαθόν· ἀλλὰ μὴ ὡς ἄνθρωπον ψιλὸν προ
σέρχου· εἰ γὰρ ἄνθρωπον κοινόν τινα
νομίζεις, μηδὲ ἀγαθόν καλεῖ·
τῷ ὄντι γὰρ ἀγαθὸς καὶ πηγὴ ἀγαθό
τητος καὶ ἀρχὴ τῆς αὐτοαγαθότητος ὁ
θεός· οἱ δὲ ἄνθρωποι ἀγαθοὶ λέγονται,
ἀλλ' οὐ κυρίως· ἀλλὰ κατὰ μετοχὴν
ὡς ἐπικτητὸν ἔχοντες τὸ ἀγαθὸν
καὶ τρεπτοί· τὰς ἐντολὰς οἶδας·
μὴ μοιχεύσῃς, μὴ φονεύσῃς· καὶ
τὰ ἑξῆς· πρότερον ὁ νόμος τὰ
ἐν οἷς ἁμαρτάνομεν ὁ λίθος
διορθοῦται· εἶτα τὰ ἐν οἷς οἱ

πολλοὶ οὐδὲ πολλάκις· οἷον τὸ
μοιχεύειν· ἐπειδὴ τὸ πῦρ φησὶ κάτωθεν
καὶ ἔνδοθεν· τὸ δὲ φονεύειν τῆς
μανίας θηριώδους ὁ θυμός· τὸ δὲ κλέπτειν
ἐλαφρότερον· καὶ τὴν ψευδομαρτυρίαν
σπανιάκις [illegible] ἐστι· διὸ
ἐκεῖνα μὲν πρότερον διορθοῦται·
οἱ αὐτοὶ καὶ ἀκόλαστοι [illegible]
ὀλισθαίνουσι τῶν· καὶ ἄλλως βαρύτερ-
ον. τοῦτο δὲ τὴν λεπτοτέραν φησὶ
καὶ τὴν ψευδομαρτυρίαν· δὲ προσ-
τίθησιν· ὡς καὶ σπανιάκις ἁπτο-
μένων καὶ ἐλαφροτέρων. ἔπειτα
τὸ τοὺς γονεῖς ἀτιμάζειν· καὶ μὴ
ἐπὶ ἁμαρτήματα· ἀλλ' ὅμως ὡς καὶ
συχνάκις σημαινόμενον. οὐδὲ γὰρ
τοσοῦτον θηριώδεις εὑρίσκουσι
πολλοὶ ἐν καλοῖς ὡς τοὺς γονεῖς
παροινεῖν· ἀλλ' ὀλιγάκις καὶ ὀ-
λίγοι. ὕστερον τούτων τέθεικεν·
ὡς δὲ ὁ νεανίσκος εἶπε ποίας ταύ-
τας φυλάξασθαι ἐκ νεότητος,
τὸ κεφάλαιον πάντων τέθεικεν
ἀκτημοσύνην ὁ κύριος αὐτῷ ὑποτίθε-
ται· ἐὰν δὲ νομίζῃς χριστιανικῆς πολιτείας·
[illegible] οὐ τί ποτε ὅσα ἔχεις φησίν·
εἰ γὰρ τοῖς ἐν [illegible] μένει· κἂν
δοῦλος εἶ καὶ διάδος. οὐ συγγ-
νώμη πλουσίοις ἀλλὰ πένησι.
οἱ μὲν διὸ ὅτι καὶ τὸ διάδος· ἐμέ-

ἔχει· τί [illegible] καὶ ὡς
εὐχὴ ποιεῖσθαι τὴν τῶν χρημάτων
δόσιν· ἑκάστῳ τὴν ἀκτημοσύνην
δεῖ καὶ τὴν ἄλλην ἀρετὴν προσάγειν
πᾶσαν αὐτῶν· διὰ τοῦτο εἶπε
καὶ δεῦρο ἀκολούθει μοι· τουτέστι
καὶ ἐν πᾶσι τοῖς ἄλλοις ἴσθι
μαθητὴς ἐμός· καὶ ἀκολούθει
μὴ σήμερον [illegible], αὔριον δὲ οὔ·
ὡς δὲ φιλοχρηματίας ἦν [illegible]
τοῦ ἐν οὐρανοῖς θησαυροῦ· ἀλλ' οὐ
προσέσχεν ὁ ἄρχων· δοῦλος
γὰρ ἦν τῶν χρημάτων· διὸ καὶ
ἀκούσας ἐλυπήθη· ὅτι ἀφαιρεῖται
αὐτῶν τῆς κτήσεως [illegible] ὁ π-
[illegible] αὐτὸς καὶ τῆς αἰωνίου ζωῆς
διὰ τοῦτο ἐστὶ θυμῷ, ὡς ἂν
ἐπὶ πᾶν τὴν τῶν χρημάτων
[illegible] καὶ αἰώνιος ἐκ [illegible]
καὶ τὸ λυπηθῆναι ἀγνώμονος
αὐτοῦ. ἀλλ' οὐ πονηροῦ [illegible]
δηλοῖ· οὐδεὶς γὰρ τῶν φαρισαίων
ἐλυπήθη ποτέ· ἀλλὰ μᾶλλον
ἠγρίαινον· οὐκ ἀγνοῶ δὲ ὅτι ὁ
μέγας [illegible]
ὁ χρυσοῦς [illegible]
ὄντως αἰωνίου ζωῆς ἐπιθυμῶν
τὸν νεανίσκον τοῦτον ἐδόξαζε
καὶ [illegible] κατέχεσθαι
δὲ πάθει μείζονι τῇ φιλαργυρίᾳ.

πηγνύουσιν οὐ κατὰ χάριν καὶ ὁμοῦ
προσετέθη· ὅτι ὡς φιλοχρήματος
ἀπῆλθε, ζωῆς αἰωνίου.
Ἰδὼν δὲ αὐτὸν ὁ Ἰ(ησοῦ)ς περίλυπον
γενόμενον, εἶπε· πῶς
δυσκόλως οἱ τὰ χρήματα ἔχοντες
εἰσελεύσονται εἰς τὴν βασιλείαν
τοῦ Θ(εο)ῦ· εὐκοπώτερόν ἐστι
κάμηλον διὰ τρυμαλιᾶς
ῥαφίδος εἰσελθεῖν, ἢ πλούσιον
εἰς τὴν βασιλείαν τοῦ Θ(εο)ῦ εἰσελθεῖν.
Εἶπον δὲ οἱ ἀκούοντες· καὶ
τίς δύναται σωθῆναι; ὁ δὲ
εἶπε· τὰ ἀδύνατα παρὰ ἀνθρώποις
δυνατά ἐστι παρὰ τῷ Θ(ε)ῷ.
Εἶπε δὲ ὁ Πέτρος· ἰδοὺ ἡμεῖς
ἀφήκαμεν πάντα καὶ ἠκολου-
σκα θήσαμέν σοι. ὁ δὲ εἶπεν αὐτῷ·
ἀμὴν λέγω ὑμῖν, οὐδείς
ἐστιν ὃς ἀφῆκεν οἰκίαν, ἢ γονεῖς,
ἢ ἀδελφούς, ἢ γυναῖκα, ἢ τέκνα
ἕνεκεν τῆς βασιλείας τοῦ Θ(εο)ῦ,
ὃς οὐ μὴ ἀπολάβῃ πολλαπλα-
σίονα ἐν τῷ καιρῷ τούτῳ καὶ
ἐν τῷ αἰῶνι τῷ ἐρχομένῳ
ζωὴν αἰώνιον. — Ἑρμηνεία. ὁ
πλούσιος [illegible] αὐτῶν
ὑπαρχόντων ἀποκτῆσιν,
ἐλυπήθη· φησὶν ὁ Κ(ύριο)ς θαυμα-
[illegible] τοῦ σχήματος [illegible]

δυσκόλως οἱ τὰ χρήματα ἔχοντες
εἰσελεύσονται εἰς τὴν βασιλείαν
τοῦ Θ(εο)ῦ· οὐκ εἶπεν ὅτι ἀδύνατον
ἔχοντα εἰσελθεῖν, ἀλλὰ δυσκό-
λως· οἱ τὰ χρήματα ἔχοντες εἰσε-
λεύσονται· οὐ γὰρ ἀδύνατον σωθῆναι
τοῖς τοιούτοις. δυνατὸν γὰρ
τὰ χρήματα προϊεμένους
ἐπιτυχεῖν τῶν αἰωνίων· δύσκολον
μέντοι τοῦτο. ιγ οὐ γὰρ κολλη-
τικώτερον τῶν χρημάτων· ὁ δυσκόλως
ἀποσπᾶται ὁ τούτοις συσχεθείς.
παρακαλοῦμεν δὲ ὡς ἀδύνατον
αὐτό τι θήσει· φησὶ γὰρ εὐκοπώ-
τερον κάμηλον διὰ τρυμαλιᾶς
ῥαφίδος εἰσελθεῖν ἢ πλούσιον
σωθῆναι. ἀδύνατον γὰρ κά-
μηλον διὰ τρυπήματος βελόνης
χωρεῖν. εἴτε τὸ ζῷον αὐτὸ νοήσεις
κάμηλον, εἴτε σχοινίον τι ναυ-
τικὸν παχύ· ὥσπερ κάμηλον
χωρηθῆναι διὰ τρυπήματος
ῥαφίδος δυσκολώτερον ἢ πλούσιον
σωθῆναι· ἀδύνατον δὲ τοῦτο. ἀ-
δυνατώτερον σωθῆναι πλούσιον.
[illegible] ἔστιν εἰπεῖν· παρ' αὐτὸν
μὲν ὁ πλοῦτος [illegible].
πλούσιον γὰρ οὐ τὸ ἀδύνατον σω-
[illegible] εἶπεν. ὅτι [illegible]
πλούσιος ὤν· ἐδίδου τὰ [illegible]

καὶ ἐσώθη· οὐ γὰρ πλούσιος ἐ-
σώθη· ἀλλ' ἡ ἀκτήμων γνώμη· ὡς
ἤ τε ὡς οἰκονόμος ὢν ἐσώθη·
ἄλλο οὖν πλούσιος· ἄλλο γὰρ οἰκονόμος
καὶ ἄλλο πλούσιος· πλούσιος μὲν
γάρ ἐστιν, ὁ ἑαυτῷ τηρῶν τὸν πλοῦτον·
οἰκονόμος δὲ, ὁ δι' ἑτέρους τοῦτον
ἐγχειρισθείς· ὥστε καὶ οὗτος ἐστὶν
οὐ πλούσιος ἐσώθη· ἀλλ' ὡς ἔφη-
μεν τὴν ἀποκτησάμενος ἃ εἶχεν·
ὡς οἰκονόμος καλῶς αὐτὰ δια-
θέμενος· ἔστι καὶ τοῦτό μοι
σκοπεῖν· ὅτι τὸν μὲν πλούσιον· ἀ-
δύνατον σωθῆναι· τὸν δὲ τὰ
χρήματα ἔχοντα, δύσκολον·
ὥσπερ καὶ ἔλαβεν· ὁ μὲν ἐχόμενος ὑπὸ
τῶν χρημάτων, καὶ δουλεύων
αὐτοῖς καὶ φυλάττων, οὐ σωθήσεται·
ὁ δὲ ἔχων τὰ χρήματα, τουτέστι
κύριος αὐτῶν ὤν· καὶ αὐτὸς
ἔχων ταῦτα· οὐκ ἐχόμενος ὑπ' αὐτῶν·
δυσκόλως σωθήσεται διὰ τὴν
ἀνθρωπίνην ἀσθένειαν· ἀδύνατον γὰρ
μὴ πάντα χρήσασθαι οἷς ἔχομεν.
ἐὰν ἔχωμεν χρήματα ἴσως
δι' ἐπιβουλὰς ὁ διάβολος ὑποσκελίζει
ἡμᾶς· ἀπὸ τοῦ παρὰ τὸν καιρὸν
καὶ τοῦ νόμου, τῆς οἰκονομίας
χρήσασθαι· ἔστιν ὅτε καὶ δυ-
σκόλως ἐκφυγεῖν τὰς παγίδας

αὐτοῦ· διὰ τοῦτο καλὸν ἡ ἀκτη-
μοσύνη καὶ σχεδὸν ἀπείρατον·
εἰπόντων δὲ φησὶν οἱ ἀκούσαντες
τίς ἄρα δύναται σωθῆναι· ὁ δὲ
εἶπε· τὰ ἀδύνατα παρὰ ἀνθρώποις
δυνατά ἐστι παρὰ τῷ θεῷ· παρὰ
μὲν γὰρ τὴν ἀνθρωπίνην γνώμην
ἔχουσιν ἤτοι κάτω συρομένοις
καὶ ἐπιθυμοῦσι τῶν γηΐνων
ἀδύνατόν ἐστι σωθῆναι· ὡς ἔφη-
παρὰ δὲ τῷ θεῷ δυνατὸν τουτέστιν
ὅταν δέ τις σύμβουλον ἔχει τὸν
θεὸν καὶ τὰ δικαιώματα τοῦ θεοῦ
καὶ τὰς περὶ τῆς ἀκτημο-
σύνης ἐντολὰς διδασκάλους
βούλοιτο καὶ τὴν παρ' ἑαυτοῦ ἐστι κα-
λοῦ τὸ ἐστι καὶ ῥᾷον δυνατὸν
εἶναι τοῦτο· ἡμῶν μὲν γὰρ
ἐστὶ τὸ θελῆσαι τοῦτο τὸ ἀγαθόν·
θεοῦ δὲ τὸ τελειῶσαι· καὶ ἄλλως
δέ, ἅπερ ὑπερβαίνει τὴν
ἀνθρωπίνην ἀσθένειαν ἐστι τῷ πλούτῳ
παρρησίαν· θέλησον μὲν
φίλους ἢ μὴ αὐτοῖς ποιῆσαι
